καὶ παρὰ μ(ὲν) τὴν τ(ῶν) στοιχείων διά[θεσιν]
οὕτως συνίστανται αἱ νόσοι. * * π[αρὰ δὲ α]ὖ
τὴν γένεσιν τ(ῶν) σωμάτ(ων) γί(νονται) νόσοι τινὲς τοιούτω(ν),
οἷον ἡ σὰρξ λαμβάνει τὴν γένεσ[ιν]
ἐξ αἵματος πεπηγότος καὶ συνεσ[τα-]
μένου, τὰ δὲ νεῦρα ἀποτελεῖται ἐκ [τῶν]
[ε]ἰνῶν τοῦ αἵματος. ταύτῃ δὲ ἀναιρ[ε-]
θεισῶν τ(ῶν) τοῦ αἵματος ἰνῶν ἀπη[κτον]
διαμένει λοιπὸν τὸ αἷμα, ὃ γί(νεται) ἐν ἐκ[είνῃι,]
ὅτι ἡ μ(ὲν) σὰρξ ἐξ αἵματος λαμβάνει
τὴν γένεσιν, τὰ δὲ νεῦρα ἐκ τ(ῶν) το[ῦ]

καὶ νεύρου ξυμπαγέντος, ἔτι τε αἵματος ἄλλον μὲν τρόπον, ἐκ δὲ τῶν αὐτῶν γεγονότος, τῶν μὲν ἄλλων τὰ πλεῖστα ᾗπερ τὰ πρόσθεν, τὰ δὲ μέγιστα τῶν νοσημάτων τῇδε χαλεπὰ ξυμπέπτωκεν, ὅταν ἀνάπαλιν ἡ γένεσις τούτων πορεύηται, τότε ταῦτα διαφθείρεται. κατὰ φύσιν γὰρ σάρκες μὲν καὶ νεῦρα ἐξ αἵματος γίγνεται, νεῦρον μὲν ἐξ ἰνῶν διὰ τὴν ξυγγένειαν, σάρκες δὲ ἀπὸ τοῦ παγέντος, ὃ πήγνυται χωριζόμενον ἰνῶν· τὸ δὲ ἀπὸ τῶν νεύρων καὶ σαρκῶν ἀπιὸν αὖ γλίσχρον καὶ λιπαρὸν ἅμα μὲν τὴν σάρκα κολλᾷ πρὸς τὴν τῶν ὀστῶν φύσιν αὐτό τε τὸ περὶ τὸν μυελὸν ὀστοῦν τρέφον αὔξει, τὸ δ' αὖ διὰ τὴν πυκνότητα τῶν ὀστῶν διηθούμενον καθαρώτατον γένος τῶν τριγώνων λειότατόν τε καὶ λιπαρώτατον, λειβόμενον ἀπὸ τῶν ὀστῶν καὶ στάζον, ἄρδει τὸν μυελόν, καὶ κατὰ ταῦτα μὲν γιγνομένων ἑκάστων ὑγίεια ξυμβαίνει τὰ πολλά· νόσοι δέ, ὅταν ἐναντίως.

XVII 14. 15 K   17—19 K   20 ἑτέροις] praelongi versus litteram ultimam servavit margo sin. c. XVIII itemque v. 22. 23. 26. 46   21. 22 K   22 πολλὰς (sive malis τινάς) ex ς in c. XVIII residua restitui   23 τόπωι K   24. 25 K   25 αὖ addidi cf. ad v. 26   26 τι extrema c. XVII, νεστο in vago fragmento, ιουτ (ω superscr.) in marg. c. XVIII inveni; super το hasta litterae υ (cf. v. 25), cuius pars superior in extr. v. 25 relicta   27—30 K   31 extr. απη vel απυ P   34 K

XVII αἵματος ἰνῶν. ʻ ταύτηι δὴ συνέχεται, φησίν, καὶ τρέφεται τὰ σώματα ταῦ[τα] πρὸς τῆς πειμελῆς, τηκομένης αὐτῆς καὶ διὰ τ(ῶν) ἀραιοτήτ(ων) τ(ῶν) ὀστέ[ων] ἐπιχορηγουμένης καὶ τρεφούση[ς] τὰ ὀστέα. ὅταν μ(ὲν) [οὖν] οὕτως γί(νηται) ἡ τ(ῶν) [σω-]μάτ(ων) γένεσις, κατὰ φύσιν ἔχει τὸ ζῷιον· ὅταν δὲ μὴ οὕτως γί(νηται), ἀλ(λ') ἐνηλ⟨λ⟩αγμέ[νως] ἡ γένεσις, νόσους ἐπιφέρει.ʼ καὶ π[ερὶ τὴν] γένεσιν δὲ τ(ῶν) σωμάτων ο(ὕτως). * * παρὰ [δὲ] τὰ περιττώματα συνίστα[νται τριχῶς] αἱ νόσοι, ἢ π[α]ρ[ὰ τὰς] φύσας [τὰς ἐκ τ(ῶν)] πε-

XVIII ριττωμ[άτ(ων) ἢ παρὰ] χολὴν ἢ φλέγμα· διὰ γὰρ ταῦ[τα τὰ τρία] καὶ κοινῇ καὶ ἰδίᾳ γί(νονται) νόσοι. κα[ὶ γ(ὰρ) ἓν μό]νον αὐτ(ῶν) νόσου[ς] ἐπιφέρει καὶ δύο σ[υνάμφω] συνελθόντα πάλι νόσους κ(ατα)σ[κευάζ]ει. * ὡς ὁμοίως δὲ καὶ διὰ τὰ τρία σ[υγκατ]οισθέντα αἱ νόσοι ἀποτελοῦν[ται. κα]ὶ ἡ μ(ὲν) τοῦ Πλάτωνος δόξα πε[ρὶ νόσω]ν ἐν τούτοις. * * Φιλόλαος δὲ ὁ Κρ[ο]τωνιάτης συνεστάναι φ(ησὶν) τὰ ἡμέτερα σώμ[ατα ἐκ] θερμοῦ. ἀμέτ⟨οχ⟩α γ(ὰρ) αὐτὰ (εἶναι) ψυχροῦ[, ὑπομι]μνήσκων ἀπό τιν(ων) τοιούτ(ων)· τὸ σπέρμ[α (εἶναι) θερ]μόν, κατασκευαστικὸν δὲ τοῦτο τ[οῦ ζώιο]υ· καὶ ὁ τόπος δέ, εἰς ὃν

XVII 44] Plato Tim. p. 84 CD: τρίτον δ' αὖ νοσημάτων εἶδος τριχῇ δεῖ διανοεῖσθαι γιγνόμενον· τὸ μὲν ὑπὸ πνεύματος, τὸ δὲ φλέγματος, τὸ δὲ χολῆς. ὅταν μὲν γὰρ ὁ τῶν πνευμάτων τῷ σώματι ταμίας πλεύμων μὴ καθαρὰς παρέχῃ τὰς διεξόδους ὑπὸ ῥευμάτων φραχθείς, ἔνθα μὲν οὐκ ἰόν, ἔνθα δὲ πλεῖον, ἢ τὸ προσῆκον πνεῦμα εἰσιὸν τὰ μὲν οὐ τυγχάνοντα ἀναψυχῆς σήπει, τὰ δὲ τῶν φλεβῶν διαβιαζόμενον καὶ ξυνεπιστρέφον αὐτὰ τῆκόν τε τὸ σῶμα εἰς τὸ μέσον αὐτοῦ διάφραγμά τ' ἴσχον ἐναπολαμβάνεται, καὶ μυρία δὴ νοσήματα ἐκ τούτων ἀλγεινὰ μετὰ πλήθους ἱδρῶτος ἀπείργασται.

XVII 36 K   38—40 K   42—46 K   46 extr. τε in col. XVIII.
XVIII 1—3 K   5—7 K   9 κρωτωνιατης P: suppl. K   10 K ἀμέτοχα emendavi ex v. 16. 17: αμετα vel αμεγα P; inde ἀμιγῆ K   11. 12 suppl. Blassius

XVIII ἡ καταβολ[ή — μήτρα] δὲ αὕτη — (ἐστὶν) θερμοτέρα καὶ ἐοι[κυιᾶ ἐκ]είνωι· [τὸ δὲ ἐοικός τινι ταὐτὸ δύναται, ὧι ἔοικεν]· ἐπεὶ δὲ τὸ κατασκευάζ[ον ἀμέ]τοχ[ό]ν (ἐστιν) ψυχροῦ καὶ ὁ τόπο[ς] δέ, ἐν ὧ[ι ἡ κ(ατα)βολ]ή, ἀμέτοχός (ἐστιν) ψυχροῦ, δῆλον [ὅτι καὶ τὸ] κ(ατα)σκευαζόμενον ζῶιον τοιοῦτο[ν γίνε]ται. * εἰς δὲ τούτου τὴν κατασκ[ευὴν ὑ]πομνήσει π(ροσ)χρῆται τοιαύτῃ· με[τὰ γ(ὰρ)] τὴν ἔκτεξιν εὐθέως ⟦τὸ⟧ τὸ ζῶιον ἐπισπᾶται τὸ ἐκτὸς πνεῦμα ψυχρὸν ὄν· εἶτα πάλιν καθαπερεὶ χρέος ἐκπέμπει αὐτό. * διὰ τοῦτο δὴ καὶ ὄρεξις τοῦ ἐκτὸς πνεύματος, ἵνα τῆ[ι] ἐπ⟨ε⟩ισάκτωι τοῦ πνεύματος ὁλκῆ θερμ[ό]τερα ὑπάρχοντα τὰ ἡμέτερα σώματα π(ρὸς) αὐτ(οῦ) καταψύχηται. * καὶ τὴν μ(ὲν) σύστασιν τῶν ἡμετέρων σωμάτ(ων) ἐν τούτοις φ(ησίν). * * λέγει δὲ γί(νεσθαι) τὰς νόσους διά τε χολὴν καὶ αἷμα καὶ φλέγμα, ἀρχὴν δὲ γί(νεσθαι) τῶν νόσων ταῦτα· ἀποτελεῖσθαι δέ φ(ησιν) τὸ μ(ὲν) αἷμα παχὺ μ(ὲν) ἔ[σω] παραθλιβομένης τῆς σαρκός, * λεπτὸν δὲ γί(νεσθαι) διαιρουμέν(ων) τ(ῶν) ἐν τῆι σαρκὶ ἀγγείων· τὸ δὲ φλέγμα συνίστασθαι ἀπὸ τῶν ὄμβρων φ(ησίν). λέγει δὲ τὴν χολὴν ἰχῶρα εἶναι τῆς σαρκός. * παράδοξόν τε α[ὐ]τὸς ἀνὴρ ἐπὶ τούτου κεινεῖ· λέγει γ(ὰρ) μηδὲ τετάχθα[ι] ἐπὶ τ[ῶι] ἥπατι χολήν, ἰχῶρα μέντοι τῆς σαρκὸς (εἶναι) τὴν χολήν. * τό τ' αὖ φλέγμα τ(ῶν) πλείστ(ων) [ψυχ⟨ρ⟩ὸν] ⟦θερμον⟧ (εἶναι) λεγόντων αὐτὸς θερμὸν τῆι φύσει ὑπ[ο]τί-

XVIII 14 cf. VIII 30 15 K 16 partim K ἀμέτοχον] altera ο ex η corr. P ψυχρον P 17 K ω ex η P 18 K 19 ἔσται suppl. K 20 K 24 post ὄρεξις non desidero γί(νεται) 33 μεσον, addito εν compendio et superscriptis σω (vel σωι), denique deletis σον in μεν εσω corr. P 38 α^{υ}τοσ P 42 ψυχον (sic) deletis θερμον superscr. P 43 K

XVIII θεται· ἀπὸ γ(ὰρ) τοῦ φλέγειν φλέγμα εἰρῆσθ(αι)·
ταύτῃ δὲ καὶ τὰ φλεγμαίνον[τα]
μετοχῇ τοῦ φλέγματος φλεγμ[α]ί-
νει. καὶ ταῦτα μ(ὲν) δὴ ἀρχὰς τ(ῶν) νό[σ]ων
ὑπ[ο]τίθεται, * [σ]υνεργὰ δὲ ὑπερβολ[άς]
[τε] θερμασίας, τροφῆς, κ(ατα)ψύ[ξ]εω[ς καὶ]

XIX [ἐ]νδείας ⟨τούτων ἢ⟩ τ(ῶν) τού[το]ι[ς π(αρα)πλησίων. * * ὁ δὲ]
Πόλυβος ἐξ ἑνὸς μ[(ὲν) στοιχείου οὐ λέγει]
τὰ ἡμέτερα σ[ώματα συνεστάναι, τὴν δὲ]
αὐτὴν φύσιν [ὁμοίως πᾶσιν εἶναι, ἥπερ ἐκ]

XVIII 44] Galenus de nat. pot. II 11 [II 130 K. III 195, 17 Helmr.]: Πρόδικος δ' ἐν τῷ Περὶ φύσεως ἀνθρώπου γράμματι τὸ συγκεκαυμένον καὶ οἷον ὑπερωπτημένον ἐν τοῖς χυμοῖς ὀνομάζων φλέγμα παρὰ τὸ πεφλέχθαι, τῇ λέξει μὲν ἑτέρως χρῆται, φυλάττει μέντοι τὸ πρᾶγμα κατὰ ταὐτὸ τοῖς ἄλλοις. τὴν δ' ἐν τοῖς ὀνόμασι τἀνδρὸς τούτου καινοτομίαν ἱκανῶς ἐνδείκνυται καὶ Πλάτων. ἀλλὰ τοῦτό γε τὸ πρὸς ἁπάντων ἀνθρώπων ὀνομαζόμενον φλέγμα τὸ λευκὸν τὴν χρόαν, ὃ βλένναν ὀνομάζει Πρόδικος, ὁ ψυχρὸς καὶ ὑγρὸς χυμός ἐστιν οὗτος καὶ πλεῖστος τοῖς τε γέρουσι καὶ τοῖς ὁπωσδήποτε ψυγεῖσιν ἀθροίζεται καὶ οὐδεὶς οὐδὲ μαινόμενος ἂν ἄλλο τι ἢ ψυχρὸν καὶ ὑγρὸν εἴποι ἂν αὐτόν. (cf. Gal. VII 348 K. et *Herm.* XXVIII 418 sqq.)
XIX 2] Hippocrates de nat. hom. 3 [VI 38, 5 L.]: πῶς εἰκὸς ἀπὸ ἑνός τι γεννηθῆναι ὅτε οὐδ' ἀπὸ τῶν πλειόνων γίνεται, ἢν μὴ τύχῃ καλῶς ἔχοντα τῆς κρήσιος τῆς πρὸς ἄλληλα; ἀνάγκη τοίνυν τῆς φύσιος τοιαύτης ὑπαρχούσης καὶ τῶν ἄλλων πάντων καὶ τῆς τοῦ ἀνθρώπου μὴ ἓν εἶναι τὸν ἄνθρωπον, ἀλλ' ἕκαστον τῶν ξυμβαλλομένων ἐς τὴν γένεσιν ἔχειν τὴν δύναμιν ἐν τῷ σώματι οἵηνπερ συνεβάλετο. καὶ πάλιν γε ἀνάγκη ἀναχωρεῖν ἐς τὴν ἑωυτοῦ φύσιν ἕκαστον τελευτῶντος τοῦ σώματος τοῦ ἀνθρώπου τό τε ὑγρὸν πρὸς τὸ ὑγρὸν καὶ τὸ ξηρὸν πρὸς τὸ ξηρὸν καὶ τὸ θερμὸν πρὸς τὸ θερμὸν καὶ τὸ ψυχρὸν πρὸς τὸ ψυχρόν. τοιαύτη δὲ καὶ τῶν ζῴων ἐστὶν ἡ φύσις καὶ τῶν ἄλλων πάντων· γίνεταί τε ὁμοίως πάντα καὶ τελευτᾷ ὁμοίως πάντα. συνίσταταί τε γὰρ αὐτῶν ἡ φύσις ἀπὸ τούτων τῶν εἰρημένων πάντων καὶ τελευτᾷ κατὰ τὰ εἰρημένα ἐς τὸ αὐτὸ ὅθεν περ συνέστη ἕκαστον, ἐνταῦθα οὖν καὶ ἀπεχώρησεν. Ibid. 2 [VI 34, 8 L.]: τῶν δὲ ἰητρῶν οἱ μέν τινες λέγουσιν, ὡς ἄνθρωπος αἷμά ἐστιν, οἱ δὲ αὐτῶν χολήν φασιν εἶναι τὸν ἄνθρωπον, ἔνιοι δέ τινες φλέγμα· ἐπίλογον δὲ ποιέονται καὶ οὗτοι πάντες τὸν αὐτόν· ἓν γὰρ εἶναί φασιν, ὅ τι ἕκαστος αὐτῶν βούλεται ὀνομάσας καὶ τοῦτο μεταλλάσσειν τὴν ἰδέην καὶ τὴν δύναμιν ἀναγκαζόμενον ὑπό τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ γίνεσθαι γλυκὺ καὶ πικρὸν καὶ λευκὸν καὶ μέλαν καὶ παντοῖον. ἐμοὶ δὲ οὐδέν τι δοκεῖ ταῦτα οὕτως ἔχειν· οἱ μὲν οὖν πλεῖστοι τοιαῦτά τινα καὶ ἐγγύτατα τούτων ἀποφαίνονται. ἐγὼ δέ φημι· εἰ ἓν ἦν ὥνθρωπος οὐδέποτ' ἂν ἤλγεεν· οὐδὲ γὰρ ἦν ὑφ' οὗ ἀλγήσειεν ἓν ἐών· εἰ δ' οὖν καὶ ἀλγήσειεν, ἀνάγκη καὶ τὸ ἰώμενον ἓν εἶναι· νῦν δὲ πολλά· πολλὰ γάρ ἐστιν ἐν τῷ σώματι ἐνεόντα, ἃ ὅταν ὑπ' ἀλλήλων παρὰ φύσιν θερμαίνηταί τε καὶ ψύχηται καὶ ξηραίνηταί τε καὶ ὑγραίνηται νόσους τίκτει.

VIII 45—48 K 48 vel υπερβαλ, sed ὑπερβαλλούσας vel propter spatium suppleri nequit 49 τε pallidiore atramento ante versum supplevit P

XIX 1 τούτοις] incertarum litt. apices inferiores fere servavit P τούτων ἢ omissa a P supplevit M. Fraenkelius παραπλησίων (cf. XXXII 48. XXXVII 20. XXXIX 30 2 qui hiatus singulas litteras capientes in vv. 2—8 post tertiam quamque litteram apparent, papyri ruga effecti 4 ὁμοίως vestigiis infra relictis aptum

XIX ψυχροῦ τε καὶ θερμ[οῦ, οὐ χωρὶς ὄντ(ων) τ]ούτ(ων),
ἀλλὰ κεκραμέν(ων) αὐ[τ(ῶν), συνέστηκεν· μετα-]
βαλὸν δὲ θάτερον θατ[έρῳ νόσον ἀπο-]
τελεῖν. * δευτέρα[ν δὲ ἀποτελεῖσθαι]
τῶν σωμάτ(ων) μετα[βολὴν ἀπὸ αἵματός τε]
καὶ φλέγματος καὶ χ[ολῆς ξανθῆς τε]
καὶ μελαίνης. ἀπὸ δ[υνάμεως γ(ὰρ) πάντ(ων)]
τούτ(ων) ἢ ἑνὸς αὐτ(ῶν) γί(νεσθαι) [ταύτην τὴν]
μεταβολήν, ἢ κ(ατὰ) τὸν α[ὐτὸν τόπον γι(νομένης) τῆς]
συμμίξεως κ(ατὰ) φύσιν [γ(ίνεται)· ἐὰν δ' ἐν τῶι]
σώματι [γίνεται] χωρισ[θῇ τι ἀπὸ τ(ῶν) ἄλλ(ων),]
νόσους γί(νεσθαι). νοσεῖν δὲ καὶ ἀ[φ' ὧνπερ ἐχω-]
ρίσθη[σαν] τόπων καὶ εἰς [οὕσπερ ἐχώ-]
ρησεν. Μενεκράτ[η]ς δὲ ὁ Ζε[ὺς ἐπι-]
κληθεὶς ἐν Ἰατρικῆι δ[ε]ῖξίν [τινα τ(ῶν)]
σωμάτ(ων) ἐκτιθέμενος καὶ [μέλλ(ων) αἰτιολ(ογεῖν)]
τὰ πάθη, πρότερον περὶ τ(ῶν) πο[ιοτήτων]
πολυπραγμον(ῶν) τ(ῶν) σωμάτ(ων), συν[εστάναι]
λέγει τὰ σώματα ἐκ τ(ῶν) τεσ[σάρων]
στοιχείων, β̄ μ(ὲν) θερμῶν, [β̄ δὲ ψυχρῶν· καὶ]
θερμῶν μ(ὲν) αἵματος ⟨καὶ⟩ χολῆς, [ψυχρῶν]
δὲ πνεύματος καὶ φλέγμα[τος. * καὶ]
τούτ(ων) μ(ὲν) δὴ μὴ στασιαζόντ(ων), ἀ[λλ' εὐκρό-]

XIX 8] Hippocrates de natura hom. 4 [VI 38, 19 L. cf. Galen. de plac. Hipp. et Plat. p. 677,13 ss. M.]: τὸ δὲ σῶμα τοῦ ἀνθρώπου ἔχει ἐν ἑωυτῷ αἷμα καὶ φλέγμα καὶ χολὴν ξανθήν τε καὶ μέλαιναν, καὶ ταῦτά ἐστιν αὐτῷ ἡ φύσις τοῦ σώματος καὶ δι' αὐτὰ ἀλγεῖ καὶ ὑγιαίνει. ὑγιαίνει μὲν οὖν μάλιστα, ὅταν μετρίως ἔχῃ ταῦτα τῆς πρὸς ἄλληλα δυνάμιος καὶ τοῦ πλήθεος καὶ μάλιστα μεμιγμένα ᾖ. ἀλγεῖ δ' ὅταν τούτων τι ἔλασσον ἢ πλέον χωρισθῇ ἐν τῷ σώματι καὶ μὴ κεκρημένον ᾖ τοῖσι πᾶσιν. ἀνάγκη γάρ, ὅταν τούτων τι χωρισθῇ καὶ ἐφ' ἑωυτοῦ στῇ, οὐ μόνον τοῦτο τὸ χωρίον, ἔνθεν ἐξέστη, ἐπίνοσον γίγνεσθαι, ἀλλὰ καὶ ἔνθα ἂν στῇ καὶ ἐπιχυθῇ ὑπερπιμπλάμενον ὀδύνην τε καὶ πόνον παρέχειν. καὶ γὰρ ὅταν τι τούτων ἔξω τοῦ σώματος ἐκρυῇ πλέον τοῦ ἐπιπολάζοντος, ὀδύνην παρέχει ἡ κένωσις· ἤν τ' αὖ πάλιν εἴσω ποιήσηται τὴν κένωσιν καὶ τὴν μετάστασιν καὶ τὴν ἀπόκρισιν ἀπὸ τῶν ἄλλων, πολλὴ αὐτῷ ἀνάγκη διπλῆν τὴν ὀδύνην παρέχειν κατὰ τὰ εἰρημένα, ἔνθεν τε ἐξέστη καὶ ἔνθα ὑπερέβαλεν.
XIX 18] cf. Ephippi Peltasta fr. 17 [II 260 Kock. cum not.]. Ael. V. H. XII 51

XIX 5 extr. οὐτ́ in sinistro marg. col. XX 5 P 7 θάτερον θατέρου] cf. Hippocr. q. f. de locis in hom. 1 [VI 276. 278 L.] τὸ ἕτερον τῷ ἑτέρῳ νοῦσον ποιεῖ. compilator unum sed primarium contrariorum par respicit 7. 8 ἀποτελεῖν K 18 K 22—30 K

XIX
τως διακειμέν(ων) ὑγιαίνει⟨ν⟩ τ[ὸ σῶμα,]
δυσχρότως δὲ ἐχόντων νο[σεῖ⟨ν⟩. τότε]
γ(ὰρ) ἐκθεῖ⟨ν⟩ ἐκ τ(ῶν) ἡμετέρων σω[μάτων φλέ-]
γματα, δοθίονας κ[αὶ τὰ τούτοις ὅμοια.]
καὶ καταρρους δὲ ἐ[κ τῆς ὑπερβολῆς τοῦ]
φλέγματος διαφόρ[ους γί(νεσθαι). . . . . .]
οὐμενον γ(άρ), φ(ησίν), ἐν τῶι σώματι [. . . . . . . εἰ-]
σιόντι δὲ φλέγματι τὸ χ̣ε̣ι̣θ̣α̣[. . . . . . .]
νο̣μενεισ̣ [.] αιπο [. .] την χ̣[. . . . .]
ἐμμεῖναν δὲ τοῦτο π̣υ̣ρ̣ρὰν [χολὴν]
ἀπογεννᾶι. ἐμμείνασα δὲ α[ὕτη]
καὶ παλαιωθεῖσα μέλαιναν ἀπογ̣[εννᾶι]
χολήν. * ἣν δὲ καὶ παλαιωθεῖσ[αν]
καὶ ὑπέρχολον γενομένην [δέχηταί τι,]
ὅπου ἂν τύχῃ, μέρος καὶ κυ[ῇ, οὐδέν φ(ησιν)]
ἀγαθὸν ἐργάζεσ̣[θα]ι· οἰσθεῖσα [μ(ὲν) γὰρ]
ἐπὶ ἰσχία ἰσχιαδ[ι]κὴν ἐμποιεῖ,
ἐπὶ δὲ τὸν πνεύμονα περι[πνευμονίαν,]
ἐπὶ δὲ τὰς πλευρὰς πλευ[ρεῖτιν,]
ἐπὶ δὲ τὰ σπλάγχ[να] οἰσθε̣[ῖσα]
καῦσον ἀπεργάζεται· τοια[ῦτα δὲ πολ(λὰ)]

XX
καὶ διάφορα γί(νεται) πάθη. * * ὁ δὲ Α[ἰγινήτης]
Πέτρων συνεστάναι φ(ησὶν) τὰ ἡ[μέτερα]
σώματα ἐκ δισσῶν στοιχείων, ψ[υχροῦ]
τε καὶ θερμοῦ, ἐφ' ἑτέρωι δὲ τού[των]
ἀπολείπει τι ἀντίστοιχ̣ον, τῶι μ̣[ὲν]
θερμῶι τὸ ξηρόν, τῶι δὲ ψυχρῶι [τὸ ὑγρ(όν).]
καὶ ἐγ μ(ὲν) δὴ τούτ(ων) συνεστάναι τὰ σώ̣[ματ(α).]
φησὶν δὲ γί(νεσθαι) τὰς νόσους ἁπ[λῶς]
[μὲν] διὰ τὰς περιττώσεις τῆς τρ[οφῆς·]
ὅταν, ἃ σύμμετρα, ἡ κοιλία μὴ λ[α-]

XIX 28 υγιαινει et 30 εκθει perperam scripsisse P evincit δοθίονας v. 31: correxi 33. 34 fortasse ἀλλοιούμενον, sed deest sententiae finis 34 super σωματι addidit velut εστ, corruptelam simul indicans obliqua ad sinistram lineola P 39. 40 K 42 κυι vel κτι P 43—47 K 47 σπλαγχαν sic P

XX 2—11 K 10 correcturae super ὅταν (fortasse γάρ vel φησίν) leve vestigium servare videtur P ασυμμετρα clare P; fortasse α prius delendum, sed locus dubius

XX [βοῦσ]α, πλείω δέ, μὴ κατεργάσηται αὐτά, συμβαίνει νόσους γί(νεσθαι). ἢ ἀπὸ τ(ῶν) στοιχείων τ(ῶν) προειρημέν(ων), ὅταν ἀνώμαλα ἦι, νόσους ἀπεργάζεται. περὶ δὲ τῆς διαφορᾶς τῆς κατὰ τὰς νόσους οὐδὲν διακριβοῖ. περὶ δὲ τῆς χολῆς ἰδιώτερον παθολογεῖ. φ(ησὶν) γ(ὰρ) αὐτὴν ὑπὸ τ(ῶν) [νόσων] [σωματ(ων)] κ(ατα)σκευάζεσθ(αι). οἱ μ(ὲν) γ(ὰρ) ἄλλοι ἀπὸ τῆς χολῆς λέγουσι γί(νεσθαι) τὰς νόσους, οὗτος δὲ ἀπὸ τ(ῶν) νόσων τὴν χολήν. καὶ σχεδὸν [οὗτος ὡ]ς ὁ Φιλόλαος οἴεται μὴ (εἶναι) ἐν ἡμῖν χολὴ[ν ἢ] ἀ[χρ]είαν. καὶ κ(ατὰ) μ(ὲν) ταῦτα συνηγόρευσεν τῶι Φιλολάωι, κ(ατὰ) δὲ τἄλλα αυτονει. Φιλιστίων δ' οἴεται ἐκ δ̄ ἰδεῶν συνεστάναι ἡμᾶς, τοῦτ' (ἔστιν) ἐκ δ̄ στοιχείων· πυρός, ἀέρος, ὕδατος, γῆς. (εἶναι) δὲ καὶ ἑκάστου δυ(νάμεις), τοῦ μ(ὲν) πυρὸς τὸ θερμόν, τοῦ δὲ ἀέρος τὸ ψυχρόν, τοῦ δὲ ὕδατος τὸ ὑγρόν, τῆς δὲ γῆς τὸ ξηρόν. * * τὰς δὲ νόσους γί(νεσθαι) πολυτρόπως κατ' αὐτόν, ὡς δὲ τύπωι καὶ γενικώτερον εἰπεῖν τριχῶς· ἢ γ(ὰρ) παρὰ τὰ στοιχεῖα ἢ παρὰ τὴν τ(ῶν) σωμάτ(ων) διάθεσιν ἢ παρὰ τὰ ἐκτός. * παρὰ μ(ὲν) οὖν τὰ στοιχεῖα, ἐπειδὰν πλεονάσῃ τὸ θερμὸν καὶ τὸ ὑγρόν, ἢ ἐπειδὰν μεῖον γένηται καὶ ἀ[ύ]μα[υ]ρὸν τὸ θερμόν. * * παρὰ δὲ τὰ ἐκτὸς γ̄· ἢ γ(ὰρ) ὑπὸ τραυμάτ(ων) καὶ ἑλκῶν ἢ [ὑπὸ] ὑπερβολῆς θάλπους, ψύχους, τ(ῶν) ὁμοίων, ἢ ὑπὸ μεταβολῆς θερμοῦ εἰς ψυχρὸν ἢ ψυχροῦ εἰς θερμὸν ἢ τροφῆς εἰς τὸ ἀνοίκειον καὶ διεφθορός. * παρὰ δὲ τὴν τῶν σωμάτ(ων) διάθεσιν ο(ὕτως)· 'ὅταν γ(άρ), φ(ησίν), εὐ-

XX 11 πλειω ut videtur ex πληω corr. P cf. XXXIII 39 18 σωματ(ων), non deletis ατ(ων) P 23 ἀχρείαν scripsi cf. XXX 35. XVIII 39 sqq.: α . . ειαν vel α . . αιον P 24 ταλλααυτονει vel ταaλλαηγνει P; post ea rescissa papyrus, ut tamen litterae procerae velut τ, ρ non possint suppleri. fortasse αὐτο⟨γνωμο⟩νεῖ vel αὐτον⟨ο⟩εῖ

XX

πνοῇ ὅλον τὸ σῶμα καὶ διεξίῃ ἀκωλύτως τὸ πνεῦμα, ὑγίεια γί(νεται)· οὐ γ(ὰρ) μό(νον) κ(ατὰ) τὸ στόμα καὶ τοὺς μυκτῆρας ἡ ἀναπνοὴ γί(νεται), ἀλ(λὰ) καὶ καθ' ὅλον τὸ σῶμα. ὅταν δὲ μὴ εὐπνοῇ τὸ σῶμα, νόσοι γί(νονται), καὶ διαφόρως· καθ' ὅλον μ(ὲν) γ(ὰρ) τὸ σῶμα τῆς ἀναπνοῆς ἐπεχομένης, νόσος

XXI

[. .]αθ[. . . . .] [. . .]σα[. . . . . τ]ὰς γι(νομένας) [. . .]λλ[.] κεινεῖσθαι [. . .]μὴ [. . . . .]εν τὰ ἠρε[μοῦ]ντ[α . . . .]τοντα [. . .]ντ[. . . . .]η ἐν τοῖς [. .]ασ[. . . .]ειλοντα [. . .]εν σ[. . . . .]ως νόσοι γί(νονται) [. .]εν ταῦτ[α . . . .] * ἡμῖν δὲ [.]δηκαιαν [. . . . . ἀνθ]ρώπου α καὶ [. . .]οι[. . . . .]ασεως ταύτη[.] δια[. . .]ηναπ[. . . . . .] παθῶν αἰτιολογίας [* συ]νέστη[κεν δὲ ὁ] ἄνθρωπος

ἐκ [ψυ]χῆς καὶ σώμ[ατος. ὡ]ς [δ'] εἰς τοῦτο ὑπο[τυπώ]σεως οὐ χρε[ία (ἐστίν), περ]ὶ μ(ὲν) ψυχῆς [ἄλλοι]ς ἀ[να]βάλλομα[ι· ἡμῖν δὲ] τοῦ σώμα[τος μ]ελητέον, ἐπεὶ [μάλιστα] περὶ τοῦτο [σπου]δάζει ἡ ἰατρικ[ή. * * τοῦ σ]ώματος

μ[(ὲν) ο]ὖν τὰ μ(ὲν) (ἐστιν) ἁπλᾶ μέρη, τὰ δὲ σύνθετα. ἁπλᾶ δὲ καὶ σύνθετα λαμβάνομ(εν) π(ρὸς) αἴσθησιν, καθὼς καὶ Ἡρόφιλος ἐπισημειοῦται λέγων ο(ὕτως)· "λεγέσθω δὲ τὰ φαινόμενα π[ρ]ῶτα, καὶ εἰ μὴ (ἔστιν) πρῶτα." ὁ μ(ὲν) γὰρ Ἐρασί[στρατ]ος καὶ π[ό]ρρω τοῦ ἰατρικοῦ κανό[νος π]ροῆλθε· ὑπέλαβεν γ(ὰρ) τὰ πρῶτα

XX 45 μόνον] μ̇ P; punctum ex ο concretum, non liturae signum credo

XXI 10 sensus videtur: ἤδη καὶ ἀνάγκη εἰπεῖν περὶ ἀνθρώπου πρῶτον καὶ ἐν τοῖς ἑξῆς ἀπὸ τῆς συστάσεως ταύτης διασημῆναι τὰς τῶν παθῶν αἰτιολογίας (cf. XXII 5) 13 K 16 prima littera conspicua aut σ aut ε P 17 ελητεον vel εντεον vel επιτεον P 24—26 K 24 πωρρω P

XXI [σώμα]τα λόγωι θεωρητὰ (εἶναι), ὥστε τὴν [αἰσθητ]ὴν φλέβα συνεστάναι ἐγ λόγωι θ[εωρη]τ(ῶν) σωμάτ(ων), φλεβός, ἀρτηρίας, νεύρο(υ). ἀλλὰ τοῦ[τ]ον παραιτητέον. * ἡμῖν δὲ λεκτέον, ὡς τῶν σωμάτ(ων) τὰ μ(ὲν) (εἶναι) ἁπλᾶ τὰ δὲ [σύ]νθετα, π(ρὸς) αἴσθησιν τούτ(ων) λαμβα[νο]μέν(ων). * * ἁπλᾶ μ(ὲν) οὖν (ἐστιν) τὰ ὁμοιομερῆ [τὰ] κ(ατὰ) τὰς τομὰς διαιρούμενα εἰς ὅμ[οι]α μέρη ὡς ἐγκέφαλός τε καὶ νεῦρον καὶ ἀρτηρία ⟨καὶ⟩ φλὲψ καὶ τὰ ὑγρά. ἕκασ[το]ν γ(ὰρ) τούτ(ων) καὶ ὁμοιομερές (ἐστιν) καὶ τ[εμ]νόμενον εἰς ὅμοια χωρίζεται μέ[ρη. * *] σύνθετα δ' (ἐστὶν) τὰ ἀν[ομοιο]μερῆ ἢ τὰ κατὰ [τὰ]ς τομὰς εἰς ἀνόμοια χωριζόμεν[α] μέρη ὡς χείρ, σκέλος, κεφαλή, ἧπα[ρ, πν]εύμων, ἕκαστον τ(ῶν) τοιούτ(ων)· καὶ γὰρ [ἀνο]μοιομερῆ (ἐστιν) καὶ κ(ατὰ) τὰς τομὰς εἰς ἀ[νόμ]οι[α] χωρ[ίζετ]αι μέρη. * * τ(ῶν) δ' ἁπλ(ῶν) τὰ μ[(έν) (ἐστιν) κεκερματισ]μένα, τὰ δὲ ἡνωμένα. κ[εκερματισμ(έν)α] μ(ὲν) οὖν (ἐστιν) αἷμα, χολή, φλέγμ[α καὶ ὅλ]ως πάντα τὰ ἐν ἡμῖν ὑγρά, ὁ[μοίως φῦσα], πνεῦμα, τὰ τούτοις ἐοικότα, [ἡνωμέν]α δὲ τὰ μὴ τοιαῦτα. * * τ(ῶν) δὲ [ἡνωμέν(ων)] αὐτ(ῶν) τὰ μ(έν) (ἐστιν) διατεταμέ[να, τὰ δὲ] παχέα τε καὶ διεστηριχότα, τὰ [δὲ οὔτε διεσ]τηριχότα οὔτε

XXI 28; cf. XXII 51] Galenus q. d. Isag. 9 [XIV 697 K.]: καὶ Ἐρασίστρατος ὡς ἀρχὰς καὶ στοιχεῖα ὅλου σώματος ὑποτιθέμενος τὴν τριπλοκίαν τῶν ἀγγείων νεῦρα καὶ φλέβας καὶ ἀρτηρίας. Galenus de nat. pot. II 6 [III 171, 1 Helmreich, II 96 K.] φλέβας ἔχειν ἐν ἑαυτῷ καὶ ἀρτηρίας τὸ νεῦρον ὥσπερ τινὰ σειρὰν ἐκ τριῶν ἱμάντων διαφερόντων τῇ φύσει πεπλεγμένην. num λόγῳ θεωρητὰ sint, disputat idem ib. [p. 172, 3 sqq. II. 97 sqq. K.]

XXI 27 αἰσθητὴν] ante alterum η vidisse mihi videbar potius φ quam τ. at τ non excluditur et a sensu non commendatur velut καθ' ἁφὴν 28 K 29 non extat τοῦτο μ(ὲν) 30 εἶναι claro compendio P. fortasse quod ferri potest, hic scriptor sibi non permisit. correxit quidem XXIV 32 P 31—34 K 36—44 K 38 ανοιμερη, suprascr. ομοιο P 44 κεκερματισμένα hic et 45 spatiis et vestigiis ductus dubitanter supplevi, ut particularum in illis flumen Platonica voce significetur 46 K 48 K 50 K

XXI διαʼ[τεταμέ]να. * * διατεταμένα μ(ὲν) οὖν ν[εῦρον, ἀδή]ν, ἀρτηρία, φλέψ, τὰ τούτοις

XXII ἐγγύς. * * δ[ιεστηρι]χότα δὲ ὀστέα, χόνδροι, τὰ ὅμοια. * τὰ μεταξὺ δὲ τούτ(ων) ἐνκέφαλος, μυελός, τὰ ἐοικότα· καὶ ἡ μ(ὲν) τοῦ ζώιου σύστασις ὡ[ς ἐν κε]φαλαί[οι]ς τοιαύτη (ἐστίν). * * [ἰδ]ίαι [δ]ὲ π[ερὶ τῆς] οἰκονομίας αὐτῆ[ς νῦν ἀναγκαῖον δοκεῖ] εἰπεῖν· οὕτως γ(ὰρ) ἂν [εἴη σύμμετρον τῶι λό(γῳ·)] ἀπὸ πάσης δὴ τοίνυν [τῆς συστάσεως τ(ῶν)] σωμάτ(ων) συνεχεῖς [μ(ὲν)] ἀπ[οφοραὶ γίνονται], καὶ ἀπὸ τῆς ἐμψύχου μᾶλλ[ον ἢ ἀ]πὸ τῆς [ἀ]ψύχου διά τε τὴν θερμασί[αν κ]αὶ διὰ τὴν κείνησιν, * ὅτ[ι κ(ατὰ) τὴν διαφο]ρὰν τῶν εἰρημέν‹ων› ἀπὸ τῆς [ἐν ἡμῖν θερμα]σίας μᾶλλον ἀποφοραὶ [τ(ῶν) σωμ]άτ[(ων) γί(νονται) ἢ] ἀπὸ τῶν ἐκτός· τὰ γ(ὰρ) ἑψόμενα [καὶ ἁπλῶς θερ-]μαινόμενα τ(ῶν) ὑδάτ(ων) μικρότερα γί(νεται) [παρ]ὰ τὴν θερμασίαν. [. . . .] τῶι ἄνω π[νέο]υσαν αὐτὴν φύσει συναποφέρειν [ἑαυτῆι] ἀτμοειδῶς πολλὴν ὑγρότη[τα καὶ ἅμα] λεπτυνόμενον ὑπ' αὐτῆς τὸ [ὑγρ]ὸν ἀτμοειδῶς ἀποφέρεσ[θαι. καὶ οὕτως μ(ὲν)] ἐπὶ τ(ῶν) ἐκτός. διὰ ταῦτα [δὲ δοκεῖ γί(νεσθαι) ἡ] ἀποφορὰ π(ρὸς) τῆς θερμασί[ας ἐπὶ τῶν] ἡμετέρων σωμάτ(ων). * ἡτ[μισμ(έν)α γ(ὰρ) . .] δύναται ἀποφέρειν ταυτ[.]τ(ων). καὶ τὰ μ(ὲν) [βαρ]έα καὶ παχέα δυσκόλως διαφορεῖται[, τὰ δὲ] κοῦφα καὶ ἐλαφρὰ εὐχερῶς, ὡς ἂν δὴ τῆς κεινήσεως αἰ(τίας) ὑ(παρχούσης) τῆς ἀποφορᾶς. καὶ γ(ὰρ) τὸ μ(ὲν) κατεραμμένον ἔδαφος

XXI 53 νεῦρον K ἀδήν] ultimum hastam servat P

XXII 4 K 6 αυτου legerat K 7 exemplum supplementi 10 K 11 K ἐμψύχου P. minus placet καὶ ἀπὸ τῆς ἐμψύχου ut dittographiam delere 17 αι (vel οι vel δι) ον (vel αν vel εν vel ατι) P; non sufficiant αἰ(τία) ἐν. fortasse διὰ τί; cf. XXXI 12 n. 18. 19 extremorum umbras servat P 24 extr. αὕτη compendiose? 25 ταῦτα ‹ἀπ' αὐ›τῶν vestigiis aptum, non τὰ ὑγρὰ κτλ., cf. v. 35 al. 26 K 28 an ‹παρ›αιτίας ut v. 34? 29 κατεραμμενον P, cf. ad XXVI 41

XXII οὐ πάνυ πολλὴν ἀποφορὰν ποιεῖται διὰ τὸ βάρος, τὸ δὲ κ(ατά)ξηρον πλείστην διὰ τὴν κουφότητα, ἧι καὶ κονιορτὸς ἀποφέρεται πολύς, ἅτε δὴ τῆς κειν[ή]σεω(ς) παραιτίας τούτ(ων) ὑ(παρχούσης). διὰ τὴν κείνη[σι]ν οὖν ὡς ὁμοίως ἀποφορὰ ἀπὸ τ(ῶν) σωμάτων γίνεται συνεχής. * τούτων δὴ ο(ὕτως) ἐχόντ(ων) καὶ ἀποφορᾶς συνεχοῦς γινομένης ἀπὸ τῶν ἡμετέρων σωμάτ(ων), εἴπ[ερ] ἀντὶ τ(ῶν) ἀποφερομέν(ων) μὴ ἐγείνετο εἰς τὰ σώματα π(ρόσ)θεσις, κἂν διεφθείρετο ῥαιδίως τὰ σώματα. * ὅθεν ἡ φύσις ἐμηχα[νήσα]το ὀρέξεις τε τοῖς ζώιοις καὶ ὕλην καὶ δυνάμεις, * ὀρέξεις μὲν εἰς τὸ τὴν ὕλην α[ἱ]ρεῖσθαι, * ὕλην δὲ εἰς ἀναπλήρωσιν τ(ῶν) ἀποφερομέν(ων), * δυνάμεις μέντοι γε εἰς διοίκησιν τῆς ὕλης· καὶ γ(ὰρ) οὐδὲν ὄφελος ἦν ὀρέξεως, εἰ μὴ ὕλη παρῆ[ν]. οὐδὲ μὴν ὕλης ὄφελος ἦν, εἰ μὴ δυνάμεις παρῆσαν αἱ διοικονομοῦ⟨σαι⟩. * * ἀλλὰ γ(ὰρ) ὕλ[η]ν ὑπεβάλετο τροφήν τε καὶ πνεῦμα· δύο γ(ὰρ) πρῶτα καὶ κυριώτατά (ἐστιν), οἷς δ[ιοι]κεῖται τὸ ζῶιον, ὥς φ(ησιν) ὁ Ἐρασίστρατος.

ἔνιοι δὲ ἐνκαλοῦσιν αὐτῶι καὶ λ[έ]γουσιν ἐκεῖνο ᾱ · οὐ [μ]όνον δύο εἶ[ναι]

XXII 51] Aliter Galenus q. d. Isag. XIV 697 (post l. ad XXI 28 cit.): παραλείπει τά τε ὑγρὰ καὶ τὰ πνεύματα. δυσὶ γὰρ ὕλαις ταῦτα [ταύταις?] διοικεῖσθαι λέγει τὸ ζῷον τῷ μὲν αἵματι ὡς τροφῇ, τῷ δὲ πνεύματι ὡς συνεργῷ εἰς τὰς φυσικὰς ἐνεργείας· οὐ παραλαμβάνει δὲ αὐτὰς ὡς ἀρχάς; cf. infra XXV 28.

XXII 33. 34 K 38 K 43 K 47 παρηι sic P 49 ὕλην K 50 ὑπεβάλετο] scil. ἡ φύσις cf. v. 41 aliter XXIII 8 51. 52 διοικεῖται incertum supplementum. ἀεὶ δεῖται K. primae litterae initium vel δ vel α vel ε, prima littera v. 52 aut δ aut κ (cursiva forma) aut μ (?). διοικονομεῖται (cf. XXIII 4) longius videtur, nisi forte medium vocis more suo transiluit P. de διοικεῖν cf. XXIII 10. XXIV 18. 19 Galen. II 111. 134 XIV 697 K. cf. test. ad XXII 51 53. 54 K

XXIII [. . . . .] [. . . . . χωρι]ώτατα· ὑπερβολὴν γ(ὰρ) οὐ[δετέρου ἡμῖν (εἶναι) ἀνα]γκαίαν. γ· οὐδὲ τοῦτο[ις πρώτοις διοικο]νομεῖται τὸ ζῶιον, ἀλ(λὰ) αὐτά (ἐστιν) δ[ιοικονομούμε]να ὑπὸ τῶν δυνάμεων. [καὶ ταῦτα μ(ὲν) λέγου]σι π(ρὸς) τὸν Ἐρασίστρατον, [ἃ ὕστερον ἐν οἰκ]είωι τόπωι πρὸς ἡμῶν διαπο[ρηθήσεται. * *] ἐπεὶ δὲ ὕλην ὑποβέβληται [τ]οι[α]ύ[τ]η[ν αἴ(τια) τιθε]ὶς τροφήν τε καὶ πνεῦμα ἁπάντ[ων, περὶ] τῆς ἑκατέρου διοικήσεως λαλήσ[ομ(εν), καὶ π]ρό[τε]ρον περὶ τῆς τοῦ πνεύματο(ς)· ἕλκετα[ι τ]οιγ(άρ)[τ]οι τὸ πνεῦμα ἔξωθεν ὑπὸ [τοῦ] στό[μα]τος καὶ τ(ῶν) μυκτήρων καὶ δι[ὰ τῆ]ς τρ[αχ]είας ἀρτηρίας φέρεται εἰς πν[εύμ]ον[α κ]αὶ καρδίαν, ἔτι δὲ θώρακα· διηθ[εῖται] δὲ καὶ εἰς κοιλίαν ὀλίγον διὰ τοῦ [στομά]χου καθ' ἡμᾶς, * οὐ μὴν δὲ κατὰ τὸν Ἐρ[α]σίστρατον. * * ἀπὸ τούτ(ων) δὴ τ(ῶν) τόπων φέρετα[ι εἰ]ς τὰς κ(ατὰ) μέρος ἀρτηρίας. φέρεται δὲ κ[α]ὶ εἰς τὰ κοιλώματα· ὡς ὁμοίως δὲ καὶ ε[ἰς] τὰ καθ' ὅλον τὸ σῶμα ἀραιώματα, εἶτα διεκθεῖ διὰ τ(ῶν) ἐν τῆι σαρκὶ φυσικῶν ἀραιωμάτων εἰς τὸ ἐκτός. τὸ δὲ πλεῖον ἐκπνεῖται διά τε τοῦ στόματος καὶ τ(ῶν) μυκτήρων. * * καὶ δὴ τοῦ εἰσπν[εο]μένου πλεῖον ἐκπνεῖται διὰ τούτ(ων) τ(ῶν) τόπων, λέγω δὲ διὰ στόματος καὶ μυκτήρων, ὅπερ (ἐστὶν) ἴσως παράδοξον. πῶς γ(ὰρ) οἷόν τ' (ἐστὶν) πλεῖον ἐκπνεῖσθ(αι), καίτοι γε ἀπὸ τοῦ εἰσπνεομένου ἀναλου-

XXIII 11] cf. Galenus de causis respir. [IV 466 K. fortasse Erasistrati memor]: ἀρχὴ μὲν οὖν διὰ τοῦ στόματος καὶ τῶν ῥινῶν ἑλκόμενος ἀὴρ ὕλη τυγχάνων τῆς κατὰ τὴν ἀναπνοὴν χρείας ... διὰ τῆς τραχείας ἀρτηρίας εἰς τὸν πνεύμονα κομιζόμενος.

XXIII 1. 2 sensus τὰ πρῶτα, ἀλλὰ πλείω. β· οὐδὲ ταῦτα εἶναι | τοῖς σώμασι χωριώτατα κτλ. 7 ὕστερον] locus non servatur 15 πνεύμονα] prima littera similis τε, sed, nisi π omisit P, non fuit τε πνεύμονα; etiam extremae litterae dubiae, sed aliud vocabulum fingi nequit cf. testim. 17—21 K 25 εισπνοιμενου P

XXIII μένου τινὸς εἰς τὰ σώματα; ἀλλ' οὐκ (ἔστιν) παράδοξον· ὃν γ(ὰρ) τρόπον κατατάσσεταί τι εἰς τὰ σώματα ἀπὸ τοῦ εἰσπνεομένου, τὸν αὐτὸν τρόπον καὶ τῶι πνεύματί τινα π(ροσ)τίθεται ἀπὸ τ(ῶν) σωμάτ(ων) καὶ πλείονά γε, ἅτινα καὶ πλεῖον ἀποτελεῖ τὸ ἐκπεμπόμενον πνεῦμα. * * ψυχρόν τε ὑπάρχον τὸ πνεῦμ(α) θερμὸν ἐκπέμπεται, ἅτε δὴ φερόμενον διὰ σωμάτ(ων) θερμῶν. ἀμέλει γ(ὰρ) τὴν εἰσπνοὴν γί(νεσθαί) φησιν εἰς τὸ τὸ πλεῖον θερμὸν τ[ὸ] περὶ τὴν καρδίαν κ(ατα)ζβέννυσθαι καὶ μὴ σωματούμενον κ(ατα)φλέγειν τὰ σώματα. * * τούς τε ὕπνους, ὥς φησιν ὁ Ἀρισ⟨το⟩τέλης, ἀποτελεῖσθαι τοῦτον τὸν τρόπον· τῆς γὰρ καρδίας φύσει θερμῆς ὑπαρχούσης καὶ ἐξ αὐτῆς ἀνηρτημένου τοῦ θερμοῦ, τοῦ δ' ἐνκεφάλου ψυχροῦ, συμβέβηκεν περὶ τῶι ἐνκεφάλωι συνίστασθαι ὑγρότητα τὴν ἀναφερομένην ὑπὸ [τ]ῆς θερμότητος ἀπὸ καρδίας, [ἣ]ν δὴ συνισταμένην κ(ατα)ψύχεσθαι

XXIII 39 φησιν] vix Erasistratus cf. Galenus l. c. [IV 471] ἡ τῆς ἐμφύτου θερμασίας ἀνάψυξίς τις, ὡς Φιλιστίων τε καὶ Διοκλῆς ἔλεγον, ... ἢ τούτων μὲν οὐδέν, ἐπιπληρώσεως δὲ ἕνεκεν ἀρτηριῶν ἀναπνέομεν, ὡς Ἐρασίστρατος οἴεται.

XXIII 42] Aristoteles de somno et vigilia 3 [p. 456a30—32]: ἐχόμενον δὲ τῶν εἰρημένων ἐστὶν ἐπελθεῖν, τίνων γινομένων καὶ πόθεν ἡ ἀρχὴ τοῦ πάθους γίγνεται, τοῦ τ' ἐγρηγορέναι καὶ τοῦ καθεύδειν. Ibidem [456b17—24]: οὐκ ἔστιν ὁ ὕπνος ἀδυναμία πᾶσα τοῦ αἰσθητικοῦ, ἀλλ' ἐκ τῆς περὶ τὴν τροφὴν ἀναθυμιάσεως γίνεται τὸ πάθος τοῦτο· ἀναγκαῖον γὰρ τὸ ἀναθυμιώμενον μέχρι του ὠθεῖσθαι, εἶτ' ἀντιστρέφειν καὶ μεταβάλλειν καθάπερ εὔριπον, τὸ δὲ θερμὸν ἑκάστου τῶν ζῴων πρὸς τὸ ἄνω πέφυκε φέρεσθαι· ὅταν δ' ἐν τοῖς ἄνω τόποις γένηται, ἀθρόον πάλιν ἀντιστρέφει καὶ καταφέρεται. Ibid. [456b26—28]: ὅταν δὲ ῥέψῃ κάτω καὶ ἀντιστρέψαν ἀπώσῃ τὸ θερμόν, τότε γίνεται ὁ ὕπνος καὶ τὸ ζῷον καθεύδει. Ibid. [457b29. 30]: πάντων δ' ἐστὶ τῶν ἐν τῷ σώματι ψυχρότατον ὁ ἐγκέφαλος, τοῖς δὲ μὴ ἔχουσι τὸ ἀνάλογον τούτῳ μόριον. Ibid. [458a1—5]: οὕτως ἐν τῇ ἀναφορᾷ τοῦ θερμοῦ τῇ πρὸς τὸν ἐγκέφαλον ἡ μὲν περιττωματικὴ ἀναθυμίασις εἰς φλέγμα συνέρχεται (διὸ καὶ οἱ κατάρροι φαίνονται γιγνόμενοι ἐκ τῆς κεφαλῆς), ἡ δὲ τρόφιμος καὶ μὴ νοσώδης καταφέρεται συνισταμένη καὶ καταψύχει τὸ θερμόν. Ibid. [458a8—12]: τῆς μὲν οὖν καταψύξεως τοῦτ' ἐστὶν αἴτιον, καίπερ τῆς ἀναθυμιάσεως ὑπερβαλλούσης τῇ θερμότητι, ἐγείρεται δ', ὅταν πεφθῇ καὶ κρατήσῃ ἡ συνεωσμένη θερμότης ἐν ὀλίγῳ πολλὴ ἐκ τοῦ περιεστῶτος.

XXIII 34 γε vel τε P   49 K

XXIII [κ]αὶ ἐκ τοῦ [. . . . . . .] πάλιν κ(ατα)φέρεσθαι, [μὴ] δυναμένην διὰ [τὸ ψῦχος διαμέ-][νειν] ἐν τοῖς τόποις, ἐπὶ τὴν καρδίαν

XXIV [. . . . .] καὶ τῆι μίξει τὸ θερμόν. [* ὥ]δε τὸ[ν] ὕπν[ον γί(νεσθαι)]. τὴν δὲ ἐγρήγορσιν ἀποτελεῖσθαι ἀν[α]λουμέν[ης] τῆς ὑγρότητος ἁπάσης τῆς περὶ τῶι ἐγκεφ[άλωι], ἔπειτα τοῦ θερμοῦ πάνυ πλεονάζοντ[ος]. κ[αί-]τοι γε ἑαυτὸν ἐπ[αι]νεῖ ὁ Ἀριστοτέλης, ὅτι παρὰ [τοὺς] ἄλλους καὶ τὸν ὕπνον καὶ τὴν ἐγρήγορσιν αἰτι[ο-]λογεῖ ἐκείνων αὐτὸν [μό]νον τὸν ὕπνον αἰ[τιο-]λογούντ(ων), μηκέτι δὲ καὶ τὴν ἐγρήγορσιν. πλὴν περὶ οὗ ὁ λό(γος), τὸ πνεῦμα ψυχρὸν εἰσπνε[ῖται], θερμὸν μ(έν)τοι γε ἐκπνεῖται, ὡς δὴ διὰ θερμῶν χωρίων φερόμενον. * καὶ μὴν ξηρὸν μὲν εἰσ-πνεῖται, ὑγρὸν δὲ ἐκπνεῖται· καὶ δῆλον· * εἰ γ(άρ) τις περὶ τοῦ στόμ[ατ]ος καὶ τοῦ μυκτῆρος τὴν χεῖρα ἢ μέρος τοῦ ἱματίου προθείη, συνόψεται ἔνικμον [τ]οῦτο, [ὡς] δὴ σὺν τῶι πνεύματι καὶ ὑγρότητος συνεκπεμπο-μένης. καὶ περὶ μ(ὲν) τῆς το[ῦ π]νεύματος διοι-κήσεως ταῦτα. * * περὶ δὲ τῆς τροφῆς ἀναγ-καῖον ὑπομιμνήσκειν [μετὰ [ταῦτα]· αὔ]τη προσενε[χθε]ῖσα πρώτης κατεργασίας τυγ[χά]νει ἐν στόματι τεμνομένη μ(ὲν) πρὸς τῶν προσθίων ὀδόν-των — τομεῖς καλοῦνται —, καταλεαινομέ-νη δὲ πρὸς τ(ῶν) μυλῶν. λοιπὸν κ(ατα)πείνεται διὰ στομάχου καὶ φέρεται εἰς κοιλίαν. κἂν ταύτηι δὲ μεταβάλλει τε καὶ ἀποικει[οῦ]ται

XXIV 6] Aristoteles in servatis libris nihil eiusmodi dixit.

XXIII 51 post τοῦ dispiciebat κατα K, fortasse κατάρρου (cf. Arist. l. c. p. 458a3) vel ⟨ἐν⟩κεφάλου.

XXIV 1 margo superior plane oblitteratus, conici tamen potest versum deesse 4. 5 K 10 K 14 περι clare P: emenda πρὸ στόματος K 16 ὡς ἂν δὴ quod ex more scriptoris est, spatium non capit cf. v. 11 18 K

XXIV χολουμένη ἐπὶ τὸ οἰκεῖον. καὶ γὰρ ἀρέσκει ἡμεῖν τὴν τροφὴν ἐν κοιλίαι μεταβάλ[λ]ειν τε ἐπὶ τὸ οἰκεῖον κἂν ταύτηι δευτέρας κ(ατ)⟨ερ⟩γασίας τυγχάνειν [κ]αὶ οὐχ ὥσπερ ὁ Ἀσ[κ]ληπιάδης ὁ οἰνοδώτης καὶ Ἀλέξανδρος ὁ Φιλαλήθειος διέλαβον, [ὡς] τέμνε[τ]αι μόνον καὶ χολοῦται ἡ τροφὴ ἐν κοιλίᾳ καὶ προδιάθεσίς τις αὐτῆι γί(νεται), [~~συμη~~] οὐ μὴν ἀποικείωσις ἐπὶ τὸ οἰκεῖ⟨ο⟩ν. * * ἡμ⟨ε⟩ῖς γ(ὰρ) λέγομεν καὶ χολοῦσθ(αι) τὴν τροφὴν ἐν κοιλίᾳ καὶ κ(ατ)εργασίας τυγχ(άνειν) [καὶ μεταβολῆς τῆς] ἐπὶ τὸ οἰκεῖον, ὡς [ἂν] δὴ διὰ τούτ(ων) καὶ θερμοτέρων παραφερομένην χωρίων· καὶ δεόντως ὥσπερ κἀπὶ τ(ῶν) ὑδάτ(ων)· ταῦτα γὰρ ῥέοντα διά τινων τόπων μεταλα⟨μ⟩βάνει τῆς ἀπ' ἐκείν(ων) δυνάμεως καὶ τὴν αὐτὴν κείνοις ἴσχει δύναμιν. ἐὰν γὰρ ὦσιν οἱ τόποι ἀσφαλτώδεις, καὶ τὸ ὕδωρ ἀσφαλτῶδες γί(νεται) κ(ατὰ) τὴν δύναμ(ιν), ἐὰν ⟨δὲ⟩ θειώδεις, θειώδη μεταβάλλον-

---

XXIV 30] Plinius Hist. nat. XXIII 38: *Asclepiades utilitatem vini aequari vix deorum potentia posse pronuntiavit.* Idem XXVI 14: *trahebat* [Asclepiades] *praeterea mentis artificio animos iam vinum promittendo aegris dandoque tempestive, iam frigidam aquam. et quoniam causas morborum scrutari prius Herophilus instituerat, vini rationem inlustraverat Cleophantus apud priscos, ipse cognominari se frigida danda praeferens, ut auctor est M. Varro, alia quoque blandimenta exogitabat.* Idem VII 124: *Asclepiadi Prusiensi condita nova secta spretis legatis et pollicitationibus Mithridatis regis reperta ratione qua vinum aegris mederetur, relato e funere homine et conservato* etc. Apuleius Florida 19 p. 32, 14 Krüger: *Asclepiades ille inter praecipuos medicorum, si unum Hippocratem excipias, ceteris princeps primus etiam vino repperit aegris opitulari, sed dando scilicet in tempore.* Caelius Aurelius acut. morb. II 39 (ed. Amman 1722) p. 175: *iubet etiam dari vinum noctibus diurnis atque iugiter, sed id vinum cui salem admiscuerimus et quod appellavit* τεθαλασσωμένον . . . *probat autem vinum dandum post cibum, siquidem solum facile penetret ac pertranseat corpora non aliter quam si sine ulla faece per liquatoria fundatur . . . iubet etiam meracum, non mixtum dari. hac enim ratione, inquit, exustae viae tanquam ex igni conductae sudorem retinendo constringunt.* Sumpta haec et alia ex nobili Asclepiadis libro περὶ οἴνου δόσεως (Sext. Math. VII 91 cf. libri citati a Susemihlio *Alex. Litteratur* II 440[132]).

XXIV 29. 30 K   31 οινοδωτης P. οἰνοδότης K probabiliter (cf. Eur. Herc. 680), cum neque analogia (ἐπιδώτης) illud satis excuset et frequenter confundat ο et ω P   32 τεμνεσθαι, superscr. τ P   35 K   41 απ vel επ P   45 K

XXIV τα γί(νεται) καὶ τὰ ὕδα(τα). ὡς οὖν ταῦτα μετα-
βάλλει τὰς δυνάμεις παρὰ τὰς τ(ῶν) τόπ(ων)
διαφοράς, ο(ὕτως) [τως] κἀπὶ τῆς τροφῆς· αὕ-
τη γ(ὰρ) [. . . . .] θερ-
μοτέρων τόπ[ων . . . .] νη[ν]
ἐν κοιλίαι καὶ [. . . . .]χυς τό-
ποι μὲν ἢ τ[. . . . .]εται
τῶι [. . . . .]ροι πο
λωνον και [. . . . .] κα[τ]ερ-

XXV [γασί]ας τυγχάνει. * ἀναλαμβ[α]νομένη δὲ
πρὸς τ(ῶν) ἀγγείων τ(ῶν) ἀπὸ τοῦ με[σ]εντερίου μ(ὲν)
ἐκφυόντ(ων), ἐνφυόντων δὲ εἰ[ς] τὴν κοιλίαν
[προστίθεται τῶι ὅλωι σώματ[ι] * καὶ μὴν] [~~τητησκατεργασιας-
τυγχανει~~ ////////////////]
[καὶ ἀ]τμοειδῶς διὰ τῶν ἀρ[αιω]μάτ(ων)
[τῶν] ἐν τῆι κοιλίᾳ ἀναλαμβάνεται ἡ τροφὴ
[κ]αὶ ἐξ ὠμῶν γί(νεται) ἡ π(ρόσ)θεσις τῶι ὅλωι σώματι,
ὡς ἂν δὴ καὶ ἐξ ὠμῶν γινομένης τῆς
ἀναδόσεως. καὶ ἐν τῶι στόματι δὲ ληφθεί-
σης τῆς τροφῆς παρὰ ταῦτα ἀνάδοσ⟨ις⟩ γί(νεται) ἀπ' αὐ-
τῆς, ὡς ἂν δὴ πάλιν ⟨καὶ⟩ ἐξ ὠμῶν γινομέν(ης)
τῆς ἀναδόσεως. ταύτῃ δὴ κα[ὶ] οἱ κ(ατά)ξηρα
ἴσχοντες τὰ στόματα διακ[λυσ]άμενοι
μαλακώτερα φέρονται, ὡς [ἂν δ]ὴ ἀναδόσ(εως)
παραυτὰ γινομένης. * ἀμέ[λει] δὲ τούτῳ
τῶι λό(γῳ) καὶ δυσώδη προσφερόμε[νοι δ]ιωθούμεθ(α)
αὐτὰ κατὰ τὴν παραυτὰ γεν[ομ]ένην
γεῦσιν, καὶ ἐκδ ὧν ἀντιλαμβα[νό]μεθα [καὶ αὐτὰ δῆ(λα)].
ἐξ ὧν φανερόν, ὡς καὶ ἐξ ὠμῶν γί(νεται) ἡ ἀνάδ(οσις).
ἀλλὰ γ(ὰρ) [καὶ] κατὰ τὴν κ(ατά)ποσιν τὴν διὰ στομάχου
τῆς τροφῆς ἀνάδοσις γί(νεται) καὶ π(ρόσ)θεσις τῶι ὅλ[ῳ].
ἐξ ὧν φανερόν, ὡς καὶ πέψις γίνεται καὶ ἐν κοιλίαι,
καὶ ἐξ ὠμῶν δὲ ἡ ἀνάδοσις. [τ]αύτῃ δὴ

XXV 1—7 K 4 versum deleto pleno versiculo, qui incipit ab τητης et in lituram desinit, inter versus supplevit P 10 K παραυτὰ H. Schoeneus cf. v. 15. 17. XXXII 43 12 K 17 K 18 εκδ sic clare P, quod explico ἐξ (δ = σ cf. Buresch *Philolog.* LI 97) δῆλα] δὴ P 23—27 K

XXV καὶ τοῦ Ἀσκληπιάδου διοίσομ[(εν)· οὗ]τος γ(ὰρ) ἐξ ὠμῶν αὐτὸ μόνον λέγει γί[(νεσθαι) τὴ]ν ἀνάδ(οσιν), ἡμ(ε)ῖς δὲ καὶ ἐξ ὠμῶν μ(ὲν) καὶ ἐκ π[έψε]ως τῆς ἐν κοιλίᾳ γι(νομένης). * καὶ τοῦ Ἐρασι[στρά]του δὲ διοίσομ(εν), καθ' ὅσ[ον] κεῖνος [μ(ὲν)] τὸ [μ(ὲν)] αἷ[μα] εἶπεν μόνον (εἶναι) τροφήν, ἡμ(ε)ῖς δὲ καὶ [τὸ αἷ]μα μ(ὲν) εἶναι τροφήν, μὴ μόνον δέ, ἀλ(λὰ) [καὶ τὴ]ν ὠμὴν δὲ τροφήν. * * εἶτα τῆς τροφῆς ἡ μ(ὲν) [εὔχ]υμ(ος) καὶ λεπτομερεστέρα αὐτόθεν ἀνα[δίδο]ται τῶι ὅλωι σώματι [διαχωροῦ[σα]], ἡ δὲ στερεὰ καὶ τρα[χεῖα] πέσσ[ε]ται ἐν κοιλίαι· πέψις γάρ (ἐστιν) μεταβολὴ κ[. . . . . .]ις [ἐπὶ τοι . . ι] σαι· διαίρεσις γ(άρ). * καὶ οὐ μόνον ἐ[ν κοιλίαι] γί(νεται) ἀνάδοσις, ἀλ(λὰ) [πάσης τῆς τροφῆς ἄ[πεπτόν τι λε]ίπεται καὶ φέρετ(αι) εἰς τὰ ἔντερα καὶ ἐν τούτ(οις) ἀναδ(ίδοται)], καὶ ἐν τοῖς ἐντέροι[ς οὐκ αὐ]τοῖς — ἡ γ(ὰρ) μερισθεῖσα εἰς ταῦτα τροφὴ ἀν[αδίδ]οται ἢ διὰ τ(ῶν) περὶ αὐτὰ ἀραιωμάτ(ων) ἢ διὰ [τ(ῶν) ἀγγ]είων τ(ῶν) ἐμφυόντ(ων) εἰς αὐτά — καὶ οὐ πᾶσ[α, ἐλά]χιστον δ[ὲ] ταύτης ἀπολείπεται, ὃ δὴ π(ρὸς) [τῆς ἐ]ν τ[ῷ] κ[ό]λωι ἰδιότητος ἀποκοπροῦτα[ι. γί(νεται) δὲ] καί τι τοῦ σ[π]έρματος. καὶ γ(ὰρ) τοῦτ[ο] κατασκευά[ζε]ται π[ρὸ]ς τῆς ἰδιότητος τῆς ἐν τοῖς σ[περμ]ατικ(οῖς) πόροις μεταβαλλούσης τὴν φε[ρομέ]ν(ην) ὡς αὐτοὺς τροφήν. ο(ὕτως) δὴ καὶ τὸ [διαλλ]άττον

XXV 25] GALENUS q. d. Defin. med. 99 [XIX 373]: οἱ δὲ ἐξ ὠμῶν ἔφασαν τὰς ἀναδόσεις γίγνεσθαι, ὥσπερ καὶ Ἀσκληπιάδης ὁ Βιθυνός. CAELIUS AURELIANUS ac. morb. I 14 [p. 44 Amm.]: *neque ullam digestionem in nobis esse, sed solutionem ciborum in in ventre fieri crudam et per singulas particulas corporis ire, ut per omnes termis visa penetrare videatur quod appellavit* λεπτομερές [cf. Gal. IV 706 sq.], *sed nos intelligimus spiritum.*

XXV 27] GALENUS de nat. pot. II 8 [II 112 K., III 182,13 Helmr.]: ἐπὶ δὲ τῆς τοῦ αἵματος γενέσεως οὐδὲν ἀτιμοτέρας οὔσης τῆς ἐν τῇ γαστρὶ χυλώσεως τῶν σιτίων οὔτ' ἀντειπεῖν τινι τῶν πρεσβυτέρων ἠξίωσεν οὔτ' αὐτὸς εἰσηγήσασασθαί τινα ἑτέραν γνώμην ἐτόλμησεν [Erasistratus].

XXV 28 αἷμα K 29. 30 K 31 extr. υλ, suprascr. μ (vel ω) P; fortasse voluit εὔχυλο(τέρα), ο in ω vitiato 32 K 33 τραχεῖα πέσσεται K 34 suppleverim καὶ λείωσις ἐπὶ τὸ ἑψῆσαι cf. [Gal.] def. 99 (XIX 372 K.) 35 K init. σαι vel και P 36a—c πάσης — ἀναδίδοται et inter versus et in margine supplevit P 37 ἀναδίδοται K 38 K 40 in. K 42 K 43 πρὸς K 45 extr. αττον vel αυτον P

XXV πρὸς τῆς ἐν ἑκάστῳ ἰδιότη⟨το⟩ς γί(νεται [. . . . .] [[. .] τροφή (ἐστιν) ἐν τοῖς ἐντέροις ἐξ^{ω} μεγίσ-]
θ
των οὕτως ἐχόντων ἕτερον κατ[. . . .]ν
κ[αὶ] ἀπὸ τ(ῶν) ἐντέρων ἀνάληψις γ[ίνετ]αι
τῆς τροφῆς. τὸ μ(ὲν) γ(ὰρ) ἐν τῶι λεπτῶι [ἐν]τέρ[ῳ]
παρακείμενον λεπτότερόν τ' ἐστ[ὶν] καὶ
ὑγρότερον, τὸ δὲ ἐν τῶι ἀπευθυ[σμέ]νωι
ξηρότερον καὶ παχύτερον, ὡς ἂν δὴ
π[(ρὸς)] τούτ(ων) ἀναδόσεως γεγεν[ημ]ένης.
[αὐ]τὰ [δὲ] τὰ ἀποκρινόμενα περισσώ[ματα] τροφὴ

XXVI [ἄ]λλ[ων γί(νεται).] τροφὴ δὲ τ(ῶν) ἀλόγων ζῴων. * πρὸς τοῦ-
το τ[ὰ μ(ὲν) πε]ρισσώματα τροφή (ἐστιν) τ(ῶν) ἀλόγων
ζώ[ιων, α]ὕτη δὲ πρὸς αὐτ(ῶν) λαμβανομένη
με[ταβάλ]λει εἰς τὴν σάρκα. * οὕτω καὶ αὐτ(ῶν)
[γί(νεται) τροφή], εἰς μ(έν)τοι γε τὰς τ(ῶ)ν ἀλόγων ζώιων
σάρκ[ας π]ροσφερόμενα οἷον [ὀρ]νείθων καὶ τ(ῶν)
παρα[πλησ]ίων, καὶ πρὸς τούτ(ων) τρεφόμεθά τε
καὶ [αὐξαν]όμεθα. [τῶι δὲ] αὐτῶι λόγωι τρο(φή)
ἐστιν [αὖ] τ(ῶν) ἀνθρώπων τὰ περισσώματα. *
εἰ δεῖ οὖ[ν τ]ροφὴν (εἶναι) τ(ῶν) ἀνθρώπων τὰ περισσώ(ματα),
ἐπειδ[ὴ τὰ] ἄλογα τ(ῶν) ζώιων τρέφεται πρὸς
τ(ῶν) περι[σσ]ωμάτ(ων) καὶ αὔξεται, ἡμ⟨ε⟩ῖς δὲ
πρὸς τ[(ῶν) ἀλ]όγων ζώιων, τούτωι τῶι λό(γωι)
φησ[ὶν κ]αὶ τὸ ξύλον καὶ τὸν λίθον καὶ
τὰ ⟨παρα⟩πλ[ήσια] τροφὴν (εἶναι), ἐπειδὴ πάντα εἰς πάν-
τα με[ταβάλ]λει. ἄλογον δὲ τοῦτο. * [[διὰ]] τί γὰρ τὰ θαν(άσιμα)
τῶν [. . . .]ν κα[. .]ευου[. .]επι[.] [τροφή], εἴπερ οἱ οἴσυ-

---

XXV 46 a. b supplementum margini adpinxit P 46 b cum εξ^{ω} vel ἔξωθεν vel ἐξ ὠμῶν vel ἐξ ὧν, μεγις vel potius αλεγισ (vel αληκ), ἕτερον etiam πορον vel παρον legi possint, incertae sunt coniecturae. fortasse [μία γ(ὰρ) ἡ] τροφή (ἐστιν) ἐν τοῖς ἐντέροις; cetera despero 48 αναληψισ, η ex α correcto P 49—51 K 53 K

XXVI 1 ἄλλων] ω litterae dimidium servavit P 2. 3 K 4 αὐτῶν] *ipsorum hominum* P. stilus hau scio librarii an scriptoris culpa maxime hoc loco laborat 6. 7 K 8 αὐξανόμεθα K 9 ad τὰ περισσώματα collatis v. 17. 18 (v. not.) suppleverim τῶν ἀλόγων ζῴων 12. 13 K 16 extr. θαν̄ P 17 desperandus locus κα vel μα, ευου[σ]ι vel ερου[σ]ι P 17. 18 οἴσυπος] cf. Aretaeus p. 194,10 Sp. Gal. XII 309 ὅ γε μὴν ἐπιτρεφόμενος τοῖς τῶν

XXVI πος [. .]ουν[. . .]οι τὸ κώνειον τρέφουσι τοὺς ἀνθρώπους; * πλὴν ταῦτα μ(ὲν) ο(ὕτως). ἐκεῖνο δὲ ῥητέον, ὅτι γί(νεται) καὶ ἐν κοιλίᾳ πέψις καὶ εὐ[χύμω]ν δὲ ἀνά[δοσ]ις, [*] ἡ πλε[ί]ω(ν) δὲ ἀνάδοσις ἀπό τε κοιλίας καὶ στομάχου καὶ ἀπὸ τῶν ἐντέρων καὶ τοῦ κόλου — καὶ γί(νεται) ἡ ἀν[ά]δ[ο]σ[ις] διὰ τ(ῶν) ἀραιωμάτ(ων) τ(ῶν) ἀμφ' αὐτά — καὶ ἀπὸ [τοῦ] στόματος. καὶ οὐ μόνον ἀπὸ τούτ(ων) ἀνάδοσις γί(νεται) καὶ πρόσθεσις, ἀλ(λὰ) καὶ ἀπὸ τ(ῶν) ἐν τοῖς ἀγ[γ]ε[ί]οις παρακειμέν(ων) καὶ ἀπὸ τῆς ἐν ταῖς φλεψὶν παρακειμένης τροφῆς· καὶ ἀπὸ τῆς ἐν ταῖς ἀρτηρίαις ἀνάδο[σ⟨ις⟩] γί(νεται) καὶ πρόσθεσις τῷ ὅλῳ σώματι καὶ ἀτμοειδῶς. * ὁ μ(έν)τοι γε Ἐρασίστρατος οὐχ οἴεται ἀνάδοσιν γί(νεσθαι) ἀπὸ τ(ῶν) ἀρτηριῶ(ν). μὴ γ(ὰρ) εἶναι κ(ατὰ) φύσιν ἐν αὐταῖς αἷμα — τοῦτό (ἐστιν) τροφή —, ἀλ(λὰ) πνεῦμα, οὐχ ὑγιῶς ἱστάμενο(ς) [λό(γον)], ὡς ἀποδείξομ(εν). εἷς μ(ὲν) [γ(άρ)]· εἴπερ μὴ παρέκειτο ἐν [ἀ]ρτηρίαις κατὰ φύσιν αἷμα, ἐχρῆν διαι[ρ]ουμέν[(ων)] ἀρτηριῶν αἷμα μὴ ἀποκρίνε(σθαι)·

XXVI 31] Galenus de usu part. VII 17 [III 492 K.]: ὅσοι ταῖς ἀρτηρίαις οὐδ' ὅλως αἵματος μεταδιδόασιν ὥσπερ καὶ ὁ Ἐρασίστρατος. Idem de nat. pot. II 6 [II 104 K., III 177,4 Helmr.]: εἰ δὲ τὴν διὰ τῶν φλεβῶν φορὰν τῆς τροφῆς ἀνάδοσιν καλεῖ [Erasistratus], τὴν δ' εἰς ἕκαστον τῶν ἁπλῶν καὶ ἀοράτων ἐκείνων νεύρων καὶ ἀρτηριῶν μετάληψιν οὐκ ἀνάδοσιν ἀλλὰ διάδοσιν, ὥς τινες ὀνομάζειν ἠξίωσαν. Ibid. [p. 95 K. 170,12 H.]: εἰ δ' ἐπισκοποῖτό τις ἐπιμελῶς, οὐδ' ὁ περὶ θρέψεως αὐτοῦ λόγος, ὃν ἐν τῷ δευτέρῳ τῶν καθόλου λόγων διεξέρχεται [Erasistratus], τὰς αὐτὰς ἀπορίας ἐκφεύγει. τῇ γὰρ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ συγχωρηθέντος ἑνὸς λήμματος, ὡς πρόσθεν ἐδείκνυμεν, ἐπέραινέ τι περὶ φλεβῶν μόνων καὶ τοῦ κατ' αὐτὰς αἵματος. ἐκρέοντος γάρ τινος κατὰ τὰ στόματ' αὐτῶν καὶ διαφορουμένου καὶ μήθ' ἀθρόου τόπου κενοῦ δυναμένου γενέσθαι μήτε τῶν φλεβῶν συμπεσεῖν . . . ἀναγκαῖον ἦν ἕπεσθαι τὸ συνεχὲς ἀναπληροῦν τοῦ κενουμένου τὴν βάσιν. [cf. Sitzungsber. d. Berl. Akad. 1893, 105[3].]

προβάτων ἐρίοις ῥύπος, ἐξ οὗ τὸν καλούμενον οἴσυπον ποιοῦσιν, πεπτικῆς ἐστι δυνάμεως παραπλησίως τῷ βουτύρῳ, βραχύ τι δὲ καὶ διαφορητικὸν ἔχει. ergo sensus esse videtur: si omnia mutentur alia ex aliis, nos omnia eodem modo nutriant τὸ πεπτικὸν οἴσυπος ὁμοίως καὶ τὸ θανάσιμον κώνειον 21 εὐχύμων] cf. XXV 31 cum nota ηπλε[ω] vel ηπλα[ν] P 24 αναδωσισ scripsisse videtur P 25 K 27 K 29 ταῖς] τ ex α corr. P 30 K 35 εἷς] scil. λόγος cf. v. 39 36 K

XXVI ἀποκρίνεται [μ](έν)τοι, [ὥστε γί(νεται)] τροφὴ ἐν ταύταις.
πρ[ὸς ὃν λόγον] ἀπολογοῦνται [οἱ] Ἐρασιστρά-
τειοι [λέγοντ]ες, διότι διαιρέσεως γεν(ομένης)
κατὰ [τὰς ἀρτη]ρίας κενοῦται τὸ αἷμα κἀπορ(εῖ)
τῶν [ἐκεῖ φλεβ]ῶν, οὐ μὴν ἐκ τ(ῶν) ἀρτηριῶν.
διαφ[έρει δὲ τ]ὸ διά τινος κενοῦσθαι ἢ τὸ
ἐκ τού[του καὶ ἐ]πὶ τ(ῶν) ἐκτός. καὶ γ(ὰρ) διὰ τ(ῶν)
κρου[νῶν ῥεῖν φ(αμεν)] ὕδωρ, οὐ μὴν ἐκ τ(ῶν) [ε] κρουν(ῶν)·
οὕτ[ω δὲ καὶ τ(ῶν)] ἀρτηριῶν διαιρεθεισῶν
δι' αὐτ[(ῶν) μ(ὲν) κενο]ῦται τὸ αἷμα, οὐ μὴν ἐξ αὐ-
τῶν· [οὐ γ(ὰρ) (εἶναι) λέγο]υσιν ἐν ταύταις αἷμα. [τότε [γ(ὰρ)
σ]υν[ε]στομῶσθαί [τε] τὰς φλέβας εἰς [τὰς] ἀρτηρία(ς) καὶ
τὸ ἐνὸν [οὔ]τω[ι] μὴ δύνασθαι κενὸν ἀθροῦν ἀπολ(ε)ίπεσθαι
[τ]όπον μετὰ τὴν π[νεύ]ματος [κέ]νω(σιν). παρεμπείπτειν
γὰρ τὸ αἷ[μ]α ἐκ τ(ῶν) φλεβῶν [εἰς] τὰ[ς] ἀρ[τ]ηρία(ς)·
διὰ μ[(έν)τοι τ(ῶν)] ἀρτη[ρι]ῶν [ἀ]πορεῖν ἐκ τούτ[(ων) ὡς
δι]ὰ κ[αλ]άμ(ων) ἔ[ξ]ω].
νωθρ[ὸν δέ] (ἐστιν) λείαν τοῦτο * ἃ μὲν [γ(ὰρ)] τὰ ἡμέ-

XXVI 48] Galenus de ven. sec. contra Erasistr. 3 [XI 152 K.]: ἄριστα οὖν μοι δοκῶ διαθέσθαι τὸν λόγον, εἰ τἄλλα παραλιπὼν ἀπ' αὐτῶν ἀρξαίμην τῶν Ἐρασιστράτῳ δοκούντων... ἀρέσκει δ' αὐτῷ πνεύματος μὲν ἀγγεῖον εἶναι τὴν ἀρτηρίαν, αἵματος δὲ τὴν φλέβα· σχιζόμενα δ' ἀεὶ τὰ μείζω τῶν ἀγγείων εἰς ἐλάττονα μὲν τὸ μέγεθος, ἀριθμὸν δὲ πλείω καὶ πάντῃ τοῦ σώματος ἐνεχθέντα (μηδένα γὰρ εἶναι τόπον, ἔνθα μὴ πέρας ἀγγείου κείμενον ὑπάρχει) εἰς οὕτω σμικρὰ πέρατα τελευτᾶν, ὥστε τῇ μύσει τῶν ἐσχάτων στομάτων κρατούμενον ἐντὸς αὐτῶν ἴσχεσθαι τὸ αἷμα· καὶ διὰ τοῦτο καίτοι παρακειμένων ἀλλήλοις τοῦ στόματος τοῦ τε τῆς φλεβὸς καὶ τῆς ἀρτηρίας, ἐν τοῖς ἰδίοις ὅροις μένειν τὸ αἷμα μηδαμόθι τοῖς τοῦ πνεύματος ἐπεμβαῖνον ἀγγείοις. μέχρι μὲν δὴ τοῦδε νόμῳ φύσεως διοικεῖσθαι τὸ ζῷον· ἐπεὶ δέ τις αἰτία βίαιος ἐκ τῶν φλεβῶν εἰς τὰς ἀρτηρίας τὸ αἷμα μεταχθῆναι, αὐτὸ νοσεῖν ἀναγκαῖον ἤδη. Idem de sanguine in art. 2 [IV 709]: καὶ διὰ τοῦτ' ἐξ ἀνάγκης ἕπεται τὸ διὰ τῶν συναναστομώσεων, ὡς αὐτός φησιν, αἷμα τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ, καὶ τοῦθ' ὥσπερ προδεδεμένον τῷ κατὰ τὰ πέρατα τῶν ὑστάτων ἀρτηριῶν πνεύματι, πρῶτον μὲν ἅπαντος τοῦ ἄλλου αἵματος, ὕστατον δὲ παντὸς τοῦ κατὰ τὰς ἀρτηρίας πνεύματος κενωθήσεται.
XXVI 48f (cf. 51)] Galenus de nat. pot. II 1 [II 75 K. III 155,25 Helmr., ubi contra Asclepiadem et Erasistratum pugnat]: ἐπὶ μὲν γὰρ τῶν καλάμων καὶ τῶν αὐλίσκων τῶν εἰς τὸ ὕδωρ καθιεμένων ἀληθὲς εἰπεῖν, ὅτι κενουμένου τοῦ περιεχομένου κατὰ τὴν εὐρυχωρίαν αὐτῶν ἀέρος ἢ κενὸς ἀθρόος [codd. ut vid. ἀθρόως] ἔσται τόπος ἢ ἀκολουθήσει τὸ συνεχές, ἐπὶ δὲ τῶν φλεβῶν οὐκέτ' ἐγχωρεῖ δυναμένου δὴ τοῦ χιτῶνος αὐτῶν εἰς ἑαυτὸν συνιζάνειν καὶ διὰ τοῦτο καταπίπτειν εἰς τὴν ἐντὸς εὐρυχωρίαν. οὕτω μὲν δὴ ψευδὴς ἡ περὶ τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας οὐκ ἀπόδειξις μὰ Δί' εἴποιμ' ἄν, ἀλλ' ὑπόθεσις Ἐρασιστράτειος.

XXVI 40. 41 K 41 χαπορ̄ P cf. v. 48 f. XXII 29 48 supplementum primum (usque ad κενὸν c) ad dextram paginae, tum infra adscripsit litteris minutissimis P 48b συνανεστομῶσθαι usui aptius scripsisset

XXVI τερα σώμα[τα] τοῖς ἀσυμπτώτοις ἔοι-
κε [[σ]ώμα[σιν]] ὡς σίφωσί τε καὶ καλάμοις· ὡς
γὰρ ο[ὗ]τοι κ(ατα)χθέντες [ἢ τρυπηθέντ[ε]ς] οὐκ ἀποκρίνου-

XXVII σι τὸ ἐν αὐ[τ]οῖς περιεχόμενον πνεῦμα
οὐδὲ κενοὶ γί(νονται) τούτου, ἀλλ' ἐμμένον ἔχουσιν
ἐν αὐτοῖς, ο(ὕτως) καὶ ἐπὶ τ(ῶν) ἀρτηριῶν διαιρεθεισ(ῶν)
οὐ πάντως κενωθήσεται τὰ [ἐντὸς] τοῦ πνεύμ(ατος),
ἀλλ' ἐμμενεῖ ἐν ταῖς ἀρτηρίαις [καὶ] μετὰ τὴν
διαίρεσιν, ὥσπερ κἀπὶ τ(ῶν) ἐκτός· * * β· εἴπερ ὁ κενὸ(ς)
ἀθροῦς αἴ(τιος) γί(νεται) τῆς παρεμπτώσεως τοῦ αἵματος
ἐκ τῶν φλεβῶν εἰς τὰς ἀρτηρίας, [ἀν]ά[γκη τὸν]
9a αὐτὸν αἴτιον γί(νεσθαι) τῆς κ(ατ)[ο]χῆς τοῦ πνεύματος, [οὕτως τὸ
θ
9b αἴτιον [. . . . .]ω]
ἀλ(λὰ) [γὰρ] οὐ γί(νεται)· [ὥστε ⟨τὸ⟩ αἴτιον π[αρ]ορᾶν δεῖ. * * ναί,
φασὶν οἱ Ἐρασιστράτειοι, οὐκ ἔοικε]
τὰ ἡμέτερα σώματα τοῖς ἀσυμπ[τώ]τοις
σώμασιν, ἃ [κυρίως] κατωνόμασται, [ἀλ(λὰ)] ἀσκῶι
ἐνπεπληρωμένωι ὑγροῦ καὶ ἐμπεπνευμα-
τωμένωι ωσο[.]νον, ὃς τρωθεὶς ἀποκρεί[νει]
δι' αὐτοῦ τό τε πνεῦμα καὶ ὑγρόν, ἅ[μα δὲ καὶ]
ἐξ [ἑ]αυτοῦ· οὕτως καὶ αἱ ἀρτηρίαι διαιρε[θε]ῖσαι
αἷμα, οὐκ ἐξ αὐτ[(ῶν)] δέ· * πρὸς δὲ καὶ τοῦτ' εἴ-
ποιμ(εν), διότι οὐ [το]ῖς οὖσ[ι] συμπτώτοις ἔοικεν
τὰ ἡμέτερ[α] σώματα, [ὥ]ς [φ(ασιν) πταίοντ]ες,
ἀλλὰ τοῖς ὑ(πάρχουσιν) ἀσυμπτώτοις[, ὡς ταῦ]τα
δῆλα ἐπὶ τ(ῶν) [τ]ελευτ(ῶν)· κατὰ γ(ὰρ) τὰ ὑμέ[νια]

XXVI 51 καλάμοις] prima littera ut cursiva et mutilata difficilis lectu, cetera vestigiis satis apta.

XXVII 1 K 2 vel εμμονον P 4 ἐντὸς incertius 9a κατοχῆς] ϙ χχησ (si oculis fides) P cf. Galen. VI 172 καὶ ἡ τοῦ πνεύματος κατοχὴ καὶ κατάληψις οὐ σμικρὸν μέρος ἀποθεραπείας ἐστίν 9b supplementum marginis perdifficile lectu; sensus: *argumentum se ipsum tollat*; fortasse αὐτῷ ἂν ἐναντιωθ(είη) 10 ωστε vel ωστο P παρορᾶν δεῖ] ποιορινδει (ult. litt. etiam σ) ut videtur P
14 non expedivi. simile experimentum commemorat Pseudohipp. de natura pueri 25 [VII 522 L.] 16 K 18 οὖσι recte legisse videtur K; certe nec εὐσυμπτώτοις nec φύσει συμπτώτοις exhibet P 19 τα aut το P ἡμέτερα K
21 τελευτῶν K; fortasse τετελευτ(ηκό)των, cf. XXXI 33

XXVII εὑρίσκοντα[ι] αἱ ἀρτηρίαι ἀσύμπτωτ[οι], ⟦ἀλλ' ο[ὔ]τοι σύμπτω[τοι]⟧.
[εἰ τοι]γ(άρ)τοι ταῦτα τοῦτον ἔχει τὸν τρ[όπον],
μοχθηροὶ φαίνονται καὶ κ(ατὰ) ταῦτα οἱ [Ἐρασ]ι[στρ(άτειοι)].
εἶτα φέρε δὲ καὶ οἰκει[οῦν]τες μὴ τοῖς
ἀσυμπτώτοις, [ἀλ(λὰ) τοῖς] εὐσυμπτώτοις
ὡς ἀσκοῖς, ἵνα [κα]ὶ αὐτοῖς συναγο[ρε]ύ[ω-]
μεν, λέγωμεν, ὡς ἐπὶ τοῦ ἀσκ[[οῦ το]ῦ] ἐνόν⟨τος⟩ κενω(θέντος)
ἐπισ[ύμ]πτωσις γί(νεται), ⟦καὶ οὐχὶ κενὸς ἀθροῦς τόπο[ς]⟧. ἀλ(λὰ)
ἐχρῆν καὶ ἐπὶ τῆς [δι]αιρέ-
σεως τ(ῶν) ἀρτηριῶν μετὰ τὴν κέ[ν]ωσιν
τοῦ πνεύματος ἐπισυμπείπτειν ταύτας.
ἐπισυμπειπτουσῶν [δὲ] αὐτ(ῶν) οὐκ ἂν ἐγίνετο
κενὸς ἀθροῦς [ο]ὐ[δὲ παρέμπ]τωσις [α]ἵματος
οὐδὲ ἀπόκρισις τού[του οὐ]δέ γε κένωσ[ις]·
ὥστε καὶ κατὰ ταῦτα αγαν[. . .]ις. * * φέρε
δὲ μετὰ τὴν [δι]αίρεσι[ν ε]ὐθὺς ἀποκρινο(μένου)
τοῦ πνεύμ[ατος εἴπω(μεν) εἰσ]κρίνεσθαι
τὸ αἷμα τῶι μ[ὴ τόπον κε]νὸν ἀθροῦν
ἀπολ⟨ε⟩ιφθῆναι[. ἀλ(λὰ) μὴν οὐκ ἐ]χρῆν αἷμα
κενοῦσθαι τούτ[ωι τῶι λό(γῳ)], ἀλ(λὰ) τὸ πν[εῦ-]
μα τὸ ἐν τῆ[ι ἡμετέραι] παρακείμενον
συγκρίσει ⟦λε[ίως]⟧ συνα[φίεσθαι] τῶι πνεύματι
τῶι ἀποκριθέντι. οὐκ ἀποκρίνεται δέ
γε τοῦτο καὶ συνπλη[ρ]οῖ τὸν τοῦ κεν[ωθέντος]
πνεύματος τόπον [. . . . . ⟦. . . . .⟧]
εἶτα κατὰ τοὺς Ἐρασιστρατείους τούσ[δε δ-]
[τε] κενοῦ[ται] μενον καὶ λ[. . . . .] αἷμ[α . . . . .]
Ἐρασιστράτειοι [. .]ει [. . . . .]αι διαδ[ο]ῦν[αι]
τῶν ἐπι[. . . . .] τοῦ
πνεύματος [. . .] πολ[. . . . .] του[. . .]
[~~παραδηεας~~] τοτ[. . . . .]σδε τω[. .]

XXVII 22 suppleta aegre dignoscuntur 24 extr. οι . . . . ι P; non οὗτοι 25 δὲ non δὴ P cf. 36 28 lectio incerta 30 K 34 K 35 αγαν . . ις (ult. litt. etiam α) P. sensus: ἄγαν νωθ⟨ε⟩ῖς 36 εὐθύς] . τους P 37 πνεύματος K 38 μὴ] prioris litterae dimidium servat P 45 nec versus exitus nec nota marginis legi possunt 47 τε vel το ante versum supplevit P super κενουμενον supplevit ται, non deletis μενον P

XXVII πρώ[τη] [θη] κενώσεται [. . . . .]
κα[τα]τοῦ μεταιονᾶι οσ[. . . . . κ]ε-

XXVIII νωθῆναι τὸ ἐν ταῖς ἀρτηρίαις τῶι πο-
· λὺ κεχωρίσθαι ταύτας τῆς καρδίας.
καὶ πάλι πρώτη πληρωθήσεται αἵματος [πρὸς [τ(ῶν) φλ(εβῶν)]],
οὕτως τε πολὺς χρόνος γενήσεται,
ὥστε μετὰ τὴν κένωσιν τοῦ πνεύματος
ῥυῆναι [τού]τ(ων) τὸ αἷμα. * * καὶ ἐπὶ πᾶσιν, εἴ-
περ ἡ καρδία πρώτη κενουμένη τοῦ πνεύμ(ατος)
πρώτη καὶ πληροῦται κ(ατὰ) τὴν παρέμπτωσιν
αἵματος, [λέγω] ἀναιρεθήσεται τὸ ζῶιον τῶι ἐν ἀνοι-
κείωι γί(νεσθαι) τόπωι τὸ αἷμα [καὶ δεσπόζοντι τοῦ ζώιου μ[έρει]].
οὐκ ἔχει δὲ ταῦτα
τοῦτον τὸν τρόπον. [πολλῶν γ(ὰρ) διαιρουμέν(ων) ἀρτηριῶν οὐδ[ὲν
ἀπέθανεν]]· οὐκ ἄρα ὑγιής (ἐστιν) ἡ τ[(ῶν)]δε τ(ῶν)
Ἐρασιστρατείων κεκομψ[ευ]μένη δόξα. * * [τούτ](ων)
οὕτως ἐκκειμέν(ων), ὅτι μ[(ὲν)] [καὶ] δ[ιὰ τὰς] [του] ἀρτηρίας (ἐστὶν)]
ἀνάδοσις, ὑπεμνήσαμ(εν)· ὅτι δὲ καὶ κ(ατὰ) [τὰς] [αρ]
[ἀρτηρίας] [τηριων] προαπεδείξαμ(εν). καὶ πλείων γε
ἡ [ἐν ταῖς] [αποτ(ων)] φλε[ψὶ] [βων] ἀνάδοσις ἤπερ [ἐν ταῖς]
[αποτ(ων)] ἀρ-
τηρί[αις] [ων], ὡς ἀποδ⟨ε⟩ίξομ(εν). α μ(ὲν) γ(ὰρ) ἀξιολογώ-
τεραί εἰσιν αἱ φλέβες τ(ῶν) ἀρτηριῶν· πιθανὸν δὲ
ἐν τῶι ἀξ⟨ι⟩ολογωτέρωι πλείονα γί(νεσθαι) τὴν
ἀνάδοσι[ν] παρὰ τὰ ἐλ[άχισ]τα τ[αῦτα].
ἀξιολογώτεραι δέ (εἰσιν) [τ(ῶν) ἀ]ρτηριῶν αἱ φλέβ(ες),
ἐν αἷς [εἰκότως πλ]είων γενήσεται ἡ ἀνάδο-
[σις]. β· καὶ [εἰ ἴσαι] (εἰσὶν) κ(ατὰ) τὸ μέγεθος αἱ ἀρτηρίαι
ταῖς φλε[ψ]ίν — φέρε γ(ὰρ) ο(ὕτως) ἔχειν — εἰ δ' οὖν ἴσ[αι],

XXVII 52 πρωθη (τη suprascr.) P 53 an ἕνε]κα τάτοῦ? μεταιονᾶι (αἰονᾶν ex Hippocrate medicis notum) clare P

XXVIII 6 τούτων] scil. τῶν φλεβῶν 9 λεγω exhibere videtur P. conicio λόγῳ, opp. ἔργῳ δὲ οὐκ ἀναιρεῖται cf. v. 10 11 ητδετ P 12 K κεκομψομενη P 15 προαπεδείξαμεν] XXVI 29 16 scripserat primo ἡ ἀπὸ τῶν φλεβῶν ἀνάδοσις ἤπερ ἀπὸ τῶν ἀρτηριῶν P 20 ἐλάχιστα ταῦτα K, vestigiis, vix sensui apta 21 K 24 εἰ δ' οὖν] ειλουν P, i. e. εἰ δ' οὖν vel εἰ γοῦν ἴσαι incertius

XXVIII αἱ μ(ὲν) ἀρτηρίαι μ⟨ε⟩ίζονες οὖσαι κ(ατὰ) τὴν περιοχὴν αὐτὸ μόνον φανήσονται τῶι τε τετραχίτωνες (εἶναι) καὶ συνεστ⟨άν⟩αι ἐξ εὐρώστων τ(ῶν) χιτώνων. * αἱ δὲ φλέβες ἀσθενέστεραι ὑ(πάρχουσαι) κατὰ τὴν περιοχὴν τῶι μονοχίτωνες εἶναι ὅμως εὐρυκοιλιώτεραί εἰσιν τ(ῶν) ἀρτηριῶν, εὐρυκοιλιώτεραι δὲ οὖσ[αι] πλείονα ἕξουσιν καὶ τὴν ἀνάδοσιν τὴν εἰς αὐτὰς γι(νομένην). * * τὸ δὲ γ· αἱ μ(ὲν) ἀρτηρίαι πλεῖον ἔχουσι τὸ παρακείμενον [ἐν αὐτ(αῖς)] πνεῦμα, [ἐλάχιστον δὲ] τὸ αἷμα, * αἱ δὲ φλέβες πλεῖον [ἔχουσι] τὸ αἷμα, ἐλάχιστον δὲ τὸ πνεῦμ(α). ἀρέ[σκει] γ(ὰρ) ἡμῖν καὶ ἐν ἀρτηρίᾳ καὶ [ἐν] φλεβὶ κατὰ φύσιν παρακεῖσθαι καὶ αἷμα καὶ πν[εῦμα], [οὕτ]ως δὲ ταῦτα παρακεῖσθαι, κα[θὼς] πρόκειται. * πλὴν ἐπεὶ ἐν μ(ὲν) ἀρτηρίᾳ [πλειον] πλεῖον τὸ πνεῦμα, ἐν δὲ φλεβὶ [ἐναντί]ον τοῦτο, πιθανώτερον πλείονα γί(νεσθαι) ἐν φλεβὶ τὴν ἀνάδοσιν ἤπερ ἐν ἀρτ(ηρίᾳ). καὶ διὰ μ(ὲν) τούτ(ων) συνακτέον, ὡς πλείων [γί(νεται)] ἡ ἀνάδοσις ἐκ τ(ῶν) φλεβῶ(ν) ἤπερ ἐξ ἀρτηριῶ(ν). ὁ μέντοι γε Ἡρόφιλος ἐναντίως διείληφεν· οἴεται γὰρ πλείονα μ(ὲν) γί(νεσθαι) ἀνάδοσιν ἐν ταῖς ἀρτηρίαις, * ἧσσ[ον]α δὲ ἐν ταῖς φλεψὶ διὰ δύο ταῦτ[α]· ᾱ μ(έν), ἐπειδήπερ ἀμφότεραι μ(ὲν) ὀρεκτικ[ῶ]ς ἔχουσι τῆς τροφῆς, ἥ τε φλὲψ κ[α]ὶ ἡ ἀρτη-

XXIX ρία, ἐπεὶ δὲ κατ' ἴσον ὀρέγονται τῆς τροφῆς, κατ' ἴσον καὶ ἡ ἀνάδοσις ε[ἰς] ⟦ξ⟧ αὐτ[ὰς] ⟦(ων)⟧ γενήσεται. δεύτερον δὲ αἱ μ(ὲν) ἀρτηρίαι, φ(ησίν), συστέλ⟨λ⟩ον-

XXIX 3] Galenus de diff. puls. IV [VIII 702 K.]: ἔτι δὲ μείζων ἄλλη διαφορὰ τοῖς ἰατροῖς ἐκ παλαιοῦ περὶ τῶν ἀρτηριῶν ἐγένετο τινῶν μὲν ἡγουμένων αὐτὰς ἐξ ἑαυτῶν σφύζειν . . ., ἐνίων

XXVIII 28 τῶν deleverim 35 K 40 vestigia secutus K 42 ἐναντίον] umbram servat P 45 γίνεται sensui et vestigiis aptius quam ἐστὶν 48—51 K
XXIX 2 ex ἐξ αὐτῶν corr. εἰς αὐτὰς P

26 Hesych. Ἐπιλύκ(ε)ιον: ἀρχεῖον τοῦ πολεμάρχου Ἀθήνησιν.

28 Schol. Plat. Phaedr. 235 D: . . . . . οἱ δὲ θεσμοθέται ἓξ εἰσι τὸν ἀριθμόν, ἀφ' ὧν καὶ ὁ τόπος, ὅπου συνῄεσαν καὶ ἐσιτοῦντο, θεμίστιον (leg. θεσμοθετεῖον) ἐκαλεῖτο . . . . .

[ἅπ]αντες εἰς τὸ θεσμοθετεῖον συνῆλθον. κύριοι δ' ἦσαν καὶ τὰς δίκας p. 1
αὐτοτελεῖς [κρίν]ειν καὶ οὐχ ὥσπερ νῦν προανακρίνειν. τὰ μὲν οὖν περὶ
τὰς ἀρχὰς τοῦτον εἶχε τὸν τρόπον. ἡ δὲ τῶν Ἀρεοπαγιτῶν βουλὴ τὴν μὲν 6
τάξιν εἶχε τοῦ διατηρεῖν τοὺς νόμους, διῴκει δὲ τὰ πλεῖστα καὶ τὰ μέγιστα
τῶν ἐν τῇ πόλει, καὶ κολάζουσα καὶ ζημιοῦσα πάντας τοὺς ἀκοσμοῦντας
κυρίως. ἡ γὰρ αἵρεσις τῶν ἀρχόντων ἀριστίνδην καὶ πλουτίνδην ἦν, ἐξ ὧν
οἱ Ἀρεοπαγῖται καθίσταντο· διὸ καὶ μόνη τῶν ἀρχῶν αὕτη μεμένηκε διὰ
βίου καὶ νῦν.

IV. ἡ μὲν οὖν πρώτη πολιτεία ταύτην εἶχε τὴν ὑπογραφήν. μετὰ 1
δὲ ταῦτα χρόνου τινὸς οὐ πολλοῦ διελθόντος ἐπ' Ἀρισταίχμου ἄρχοντος
Δρά[κ]ων τοὺς θεσμοὺς ἔθηκεν· ἡ δὲ τάξις αὕτη τόνδε τὸν τρόπον εἶχε.
ἀπεδέδοτο μὲν ἡ πολιτεία τοῖς ὅπλα παρεχομένοις. ᾑροῦντο δὲ τοὺς μὲν 2
ἐννέα ἄρχοντας καὶ τοὺς ταμίας οὐσίαν κεκτημένους οὐκ ἐλάττω δέκα μνῶν
ἐλευθέραν, τὰς δ' ἄλλας ἀρχὰς | ⟨τὰς⟩ ἐλάττους ἐκ τῶν ὅπλα παρεχο- p. 2
μένων, στρατηγοὺς δὲ καὶ ἱππάρχους οὐσίαν ἀποφαίνοντας οὐκ ἔλαττον ἢ
ἑκατὸν μνῶν ἐλευθέραν καὶ παῖδας ἐκ γαμετῆς γυναικὸς γνησίους ὑπὲρ δέκα
ἔτη γεγονότας· τούτους δ' ἔδει διε[γγ]υᾶν τοὺς πρυτάνεις καὶ τοὺς στρατη-
γοὺς καὶ τοὺς ἱππάρχους τοὺς ἔνους μέχρι εὐθυνῶν, ἐγγυητὰς δ ἐκ τοῦ
αὐτοῦ τέλους δεχομένους οὗπερ οἱ στρατηγοὶ καὶ οἱ ἵππαρχοι. βουλεύειν 3
δὲ τετρακοσίους καὶ ἕνα τοὺς λαχόντας ἐκ τῆς πολιτείας. κληροῦσθαι δὲ
καὶ ταύτην καὶ τὰς ἄλλας ἀρχὰς τοὺς ὑπὲρ τριάκοντ' ἔτη γεγονότας, καὶ
δὶς τὸν αὐτὸν μὴ ἄρχειν πρὸ τοῦ πάντας ἐξελθεῖν· τότε δὲ πάλιν ἐξ ὑπαρ-
χῆς κληροῦν. εἰ δέ τις τῶν βουλευτῶν, ὅταν ἕδρα βουλῆς ἢ ἐκκλησίας
ᾖ, ἐκλείποι τὴν σύνοδον, ἀπέτινον ὁ μὲν πεντακοσιομέδιμνος τρεῖς δραχμάς,
ὁ δὲ ἱππεὺς δύο, ζευγίτης δὲ μίαν. ἡ δὲ βουλὴ ἡ ἐξ Ἀρείου πάγου 4
φύλαξ ἦν τῶν νόμων καὶ διετήρει τὰς ἀρχὰς ὅπως κατὰ τοὺς νόμους ἄρχωσιν.
ἐξῆν δὲ τῷ ἀδικουμένῳ πρὸ[ς τὴν τῶν] Ἀρεοπαγιτῶν βουλὴν εἰσαγγέλλειν
ἀποφαίνοντι παρ' ὃν ἀδικεῖται νόμον. ἐπὶ δὲ τοῖς σώ[μ]ασιν ἦσαν οἱ 5
δανεισμοί, καθάπερ εἴρηται, καὶ ἡ χώρα δι' ὀλίγων ἦν.

V. τοιαύτης δὲ τῆς τάξεως οὔσης ἐν τῇ πολιτείᾳ, καὶ τῶν πολλῶν 1
δουλευόντων τοῖς ὀλίγοις, ἀντέστη τοῖς γνωρίμοις ὁ δῆμος. ἰσχυρᾶς δὲ 2

3 αρεοπαγειτ(ων) L. 5 πάντας] παντες L*, corr. L^1 7 αρεοπαγειται L
11 αὕτη] αυτ(ης) L: Wn. legit αυτ^0 sc. αὐτοῦ 12 απεδοτο L*, corr. L^1
14 ἀρχὰς om. L*, add. in marg. L^1 (ut recte vidit Wn.) τὰς add. Richards et al.
16 ελευθερων L 17 δ(ε)διεγγυαν L*, δει suprascr. L^1, quod om. K-W 21 τριακονθ L
22 ἐξελθεῖν] ξ paene totum periit: δ[ι]ελθεῖν Wn. (K-W^3) 24 ᾖ] η L 27 αρεοπαγειτ(ων) L

1 Laert. Diog. I 58 καὶ πρῶτος τὴν συναγωγὴν τῶν ἐννέα ἀρχόντων ἐποίησεν εἰς τὸ συνειπεῖν, ὥς Ἀπολλόδωρός φησιν ἐν δευτέρῳ Περὶ νομοθετῶν. Arist. Pol. Δ 14. 1298^{a}28 τέταρτος δὲ τρόπος (sc. δημοκρατίας) τὸ πάντας περὶ πάντων βουλεύεσθαι συνιόντας, τὰς δ' ἀρχὰς περὶ μηθενὸς κρίνειν ἀλλὰ μόνον προανακρίνειν, ὅνπερ ἡ τελευταία δημοκρατία νῦν διοικεῖται τρόπον.

11 sqq. Arist. Pol. B 12. 1274^{b}15 Δράκοντος δὲ νόμοι μέν εἰσι, πολιτείᾳ δ' ὑπαρχούσῃ τοὺς νόμους ἔθηκεν· ἴδιον δ' ἐν τοῖς νόμοις οὐδέν ἐστιν ὅ τι καὶ μνείας ἄξιον, πλὴν ἡ χαλεπότης διὰ τὸ τῆς ζημίας μέγεθος.

τῆς στάσεως οὔσης καὶ πολὺν χρόνον ἀντικαθημένων ἀλλήλοις εἵλοντο κοινῇ p.2
διαλλακτὴν καὶ ἄρχοντα Σόλωνα καὶ τὴν πολιτείαν ἐπέτρεψαν αὐτῷ ποιή-
σαντι τὴν ἐλεγείαν ἧς ἐστιν ἀρχή

γιγνώσκω, καί μοι φρενὸς ἔνδοθεν ἄλγεα κεῖται,
πρεσβυτάτην ἐσορῶν γαῖαν Ἰαονίας
καινομένην·

ἐν ᾗ πρὸς ἑκατέρους ὑπὲρ ἑκατέρων μάχεται καὶ διαμφισβητεῖ καὶ μετὰ
ταῦτα κοινῇ παραινεῖ καταπαύειν τὴν ἐνεστῶσαν φιλονικίαν. ἦν δ' ὁ 3
Σόλων τῇ μὲν [φύ]σει καὶ τῇ δόξῃ τῶν πρώτων, τῇ δ' οὐσίᾳ καὶ τοῖς
πράγμασι τῶν μέσων, ὡς ἔκ τε τῶν ἄλλων ὁμολογεῖται καὶ αὐτὸς ἐν τοῖσδε
τοῖς ποιήμασιν μαρτυρεῖ, παραινῶν τοῖς πλουσίοις μὴ πλεονεκτεῖν·

ὑμεῖς δ' ἡσυχάσαντες ἐνὶ φρεσὶ καρτερὸν ἦτορ,
οἳ πολλῶν ἀγαθῶν ἐς κόρον [ἠ]λάσατε,
ἐν μετρίοισι τίθεσ[θ]ε μέγαν νόον· οὔτε γὰρ ἡμεῖς
πεισόμεθ', οὔθ' ὑμῖν ἄρτια τα[ῦτ'] ἔσεται.

καὶ ὅλως αἰεὶ τὴν αἰτίαν τῆς στάσεως ἀνάπτει τοῖς πλουσίοις· διὸ καὶ ἐν
ἀρχῇ τῆς ἐλεγείας δεδοικέναι φησὶ 'τήν τε φι[λαργυρ]ίαν τήν τε ὑπερη-
φανίαν', ὡς διὰ ταῦτα τῆς ἔχθρας ἐνεστώσης.

VI. κύριος δὲ γενόμενος τῶν πραγμάτων Σόλων τόν τε δῆμον ἠλευ- 1
θέρωσε καὶ ἐν τῷ π[α]ρόντι καὶ εἰς τὸ μέλλον, κωλύσας δ[ανε]ίζειν ἐπὶ
τοῖς σώμασιν, καὶ νόμους ἔθηκε καὶ χρεῶν ἀπ[ο]κοπὰς ἐποίησε καὶ τῶν
ἰδίων καὶ τῶν δ[η]μοσίων, ἃς σεισάχθειαν καλοῦσιν, ὡς ἀποσεισάμενοι τὸ
βάρος. ἐν οἷς πειρῶνταί τιν[ες] διαβάλλ[ει]ν αὐτόν· συνέβη γὰρ τῷ 2
Σόλωνι μέλλοντι ποιεῖν τὴν σεισάχθειαν προειπεῖν τισι τῶν [γν]ωρίμω[ν],
ἔπειθ', ὡς μὲν οἱ δημοτικοὶ λέγουσι, παραστρατηγη[θ]ῆναι διὰ τῶν φίλων,
ὡς δ' οἱ β[ουλ]όμενοι βλασ[φ]ημεῖν, καὶ αὐτὸν κοινωνεῖν. δανεισάμενοι

4 γινωσκω L. 6 καινομένην] ita legit Bl., recte ut vid.: κλινομένην Wn. (K-W[3]), quod verum esse potest, sed littera altera α potius quam λ esse videtur 8 φιλοτιμιαν L.*, corr. L[1] 9 φύσει Richards, cett. 13 ἠλάσατε Postgate 15 ταῦτ' H-L, al., τἄλλ' ego antea, quod tuetur Ludwich (*Berl. Phil. Woch.* 1903, p. 700); sed est ante ε hasta transversa magis litterae τ quam λ apta 17 φιλαργυρίαν (fortasse -ειαν L)] cf. Plut. Sol. 14: φσ . . . ειαν legit Wn., φι[λαργ]υρείαν Diels, φ[ιλοπλου]τιαν Bl. 22 ασεισαχθια L.*, σ suprascr. L[1]; ἃ σεισάχθεια K-W[3] αποσισαμ(εν)οι L. 23 τινες Wyse, al. 26 βουλόμενοι J. E. B. Mayor, al. δανισαμ(εν)οι L.

1 Plut. Amat. 18,14 p. 763 D ὥσπερ οὖν ἦσάν ποτε τρεῖς στάσεις Ἀθήνησι, Παράλων Ἐπακρίων Πεδιέων, χαλεπῶς ἔχουσαι καὶ διαφερόμεναι πρὸς ἀλλήλας· ἐπεὶ δὲ πάντες ἐν ταὐτῷ γενόμενοι καὶ τὰς ψήφους λαβόντες ἤνεγκαν πάσας Σόλωνι καὶ τοῦτον εἵλοντο κοινῇ διαλλακτὴν καὶ ἄρχοντα καὶ νομοθέτην, ὃς ἔδοξε τῆς ἀρετῆς ἔχειν ἀδηρίτως τὸ πρωτεῖον.

10 Arist. Pol. Δ 11. 1296a 18 σημεῖον δὲ δεῖ νομίζειν καὶ τὸ τοὺς βελτίστους νομοθέτας εἶναι τῶν μέσων πολιτῶν· Σόλων τε γὰρ ἦν τούτων (δηλοῖ δ' ἐκ τῆς ποιήσεως), κτλ.

22 Hesych. σεισαχθεια: Σόλων χρεῶν ἀποκοπὴν δημοσίων καὶ ἰδιωτικῶν ἐνομοθέτησεν, ἥνπερ σεισάχθειαν ἐκάλεσε παρὰ τὸ ἀποσείσασθαι τὰ βάρη τῶν δανείων. Phot.-Suid. σεισάχθεια: χρεοκοπία δημοσίων καὶ ἰδιωτικῶν, ἣν εἰσηγήσατο Σόλων. εἴρηται δὲ παρόσον ἔθος ἦν Ἀθήνησι τοὺς ὀφείλοντας τῶν πενήτων σώματι ἐργάζεσθαι τοῖς χρήσταις, ἀποδόντας δὲ οἱονεὶ τὸ ἄχθος ἀποσείσασθαι, ὡς Φιλόχορος δὲ δοκεῖ, ἀποψηφισθῆναι τὸ ἄχθος. — Cyrill. Vall. E 11 σεισάχθεια: χρεῶν ἀποκοπαί.

γὰρ οὗτοι συνεπρίαντο πολλὴν χώραν, καὶ μετ' οὐ πολὺ τῆς τῶν χρεῶν p. 2
ἀποκοπῆς γενομένης ἐπλούτουν· ὅθεν φασὶ γενέσθαι τοὺς ὕστερον δοκοῦντας
εἶναι παλαιοπλούτους. οὐ μὴν ἀλλὰ πιθ[ανώ]τερος ὁ τῶν δημοτικῶν 3
λόγος· οὐ γὰρ ε[ἰκ]ὸς ἐν μὲν τοῖς ἄλλοις οὕτω μέτριον γενέσθαι καὶ κοινόν,
[ὥ]στ' ἐξὸν αὐτῷ τοὺς ἑ[τ]έρους ὑποποιησάμενον τυραννεῖν τῆς πόλεως,
ἀμφοτέροις ἀπεχ[θέ]σθαι καὶ περὶ πλείονος ποιήσασθαι τὸ καλὸν καὶ τὴν
τῆς πόλεως σωτηρίαν ἢ τὴν αὑτοῦ πλεονεξίαν, ἐν οὕτω δὲ μικροῖς καὶ
φανεροῖς καταρρυπαίνειν ἑαυτόν. ὅτι δὲ ταύτην ἔσχε τὴν ἐξουσίαν, τά 4
τε πράγματα νοσοῦντα μαρτυρεῖ, καὶ ἐν τοῖς ποιήμασιν αὐτὸς πολλαχοῦ
μέμνηται καὶ οἱ ἄλλοι συνομολογοῦσι πάντες. ταύτην μὲν οὖν χρὴ νομίζειν
ψευδῆ τὴν αἰτίαν εἶναι.

VII. πολιτείαν δὲ κατέστησε καὶ νόμους ἔθηκεν ἄλλους, τοῖς δὲ Δρά- 1
κοντος θεσμοῖς ἐπαύσαντο χρώμενοι πλὴν τῶν φονικῶν. ἀναγράψαντες δὲ
τοὺς νόμους εἰς τοὺς κύρβεις ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλείῳ καὶ ὤμοσαν
χρήσεσθαι πάντες. οἱ δ' ἐννέα ἄρχοντες ὀμνύντες πρὸς τῷ λίθῳ κατε-
φάτιζον ἀναθήσειν ἀνδριάντα χρυσοῦν, ἐάν τινα παραβῶσι τῶν νόμων· ὅθεν
ἔτι καὶ νῦν οὕτως ὀμνύουσι. κατέκλησεν δὲ τοὺς νόμους εἰς ἑκατὸν 2
ἔτη καὶ διέταξε τὴν πολιτείαν τόνδε ⟨τὸν⟩ τρόπον. τιμήματι διεῖλεν εἰς 3

---

2 γινομένης L, quod retinet Bl.; γενομένης K-W, al. 5 ὥστ' Jackson, cett. ἑτέρους Bl., al. πολεως om. L, suprascr. L¹ 8 φανεροῖς] lectio non omnino certa, sed vestigiis apta ρυπαινειν L*, κατα suprascr. L¹ 9 μαρτυρεῖ] μαρτυρουσιτο L* (ita Wn. recte ut vid., sed litterae σι perobscurae sunt), ει super ου scripsit L¹? 18 τον suppl. Bl., cett. ante τιμήματι aut supplendum est τὸ πᾶν πλῆθος (cf. testim. ex Harp. et Phot.), aut intelligendum τὴν πολιτείαν (cf. testim. ex Hesych. et epit.)

---

13 Harpocr. s. v. κύρβεις: .... Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησίν "ἀναγράψαντες δὲ τοὺς νόμους εἰς τοὺς κύρβεις ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλείᾳ" (Epitomen exscr. Phot¹. Suid¹.). — Plut. Sol. 25 ἰσχὺν δὲ τοῖς νόμοις πᾶσιν εἰς ἑκατὸν ἐνιαυτοὺς ἔδωκε. καὶ κατεγράφησαν εἰς ξυλίνους ἄξονας ἐν πλαισίοις περιέχουσι στρεφομένους, ὧν ἔτι καθ' ἡμᾶς ἐν πρυτανείῳ λείψανα μικρὰ διεσῴζετο, καὶ προσηγορεύθησαν, ὡς Ἀριστοτέλης φησί, κύρβεις. — Schol. Ar. Av. 1354 (V R.) κύρβεις χαλκαῖ σανίδες ἔνθα τοὺς νόμους γράφουσιν. κατὰ δὲ ἐνίους ἄξονες τρίγωνοι, ἐν οἷς ἦσαν οἱ τῶν πόλεων νόμοι γεγραμμένοι καὶ αἱ δημόσιαι ἱεροποιΐαι (hic desinit R), καθάπερ καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Ἀθηναίων πολιτείᾳ φησὶ καὶ Ἀπολλόδωρος.

15 Harpocr. s. v. λίθος: .... ἐοίκασι δ' Ἀθηναῖοι πρός τινι λίθῳ τοὺς ὅρκους ποιεῖσθαι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Φιλόχορος ἐν τῷ γ̄ ὑποσημαίνουσιν (ex Epit. Phot. Suid.¹¹) — Plut. Sol. 25: κοινὸν μὲν οὖν ὤμνυεν ὅρκον ἡ βουλὴ τοὺς Σόλωνος νόμους ἐμπεδώσειν, ἰδίως (sic Seitenst., ἴδιον vulgo) δ' ἕκαστος τῶν θεσμοθετῶν ἐν ἀγορᾷ πρὸς τῷ λίθῳ καταφατίζων, εἴ τι παραβαίη τῶν θεσμῶν ἀνδριάντα χρυσοῦν ἰσομέτρητον ἀναθήσειν ἐν Δελφοῖς.

18 Harpocr. s. v. ἱππάς: ..... Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶν ὅτι Σόλων εἰς τέτταρα διεῖλε τέλη τὸ πᾶν πλῆθος Ἀθηναίων, πεντακοσιομεδίμνους καὶ ἱππέας καὶ ζευγίτας καὶ θῆτας. (εἰς ante πενταχ. et ante ἱππέας addit Epitome, quam exscr. Phot.¹¹). Harp. s. v. πεντακοσιομέδιμνον: .... ὅτι τέσσαρα τέλη ἐποίησεν Ἀθηναίων ἁπάντων Σόλων, ὧν ἦσαν καὶ οἱ πεντακοσιομέδιμνοι, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ (Epitomen descr. Phot. Suid.). — Hesych. ἐκ τιμημάτων: τίμημα διανέμησις τῆς πολιτείας. διῄρητο γὰρ ἡ πολιτεία κατὰ Σόλωνα εἰς τέσσαρα, πεντακοσιομέδιμνον (reliqua desunt). — cf. Phot¹. Suid. ἱππάς: Σόλων τοὺς νόμους Ἀθηναίοις γράψας εἰς (ἐν Phot.) πέντε τέλη τὸ πᾶν πλῆθος αὐτῶν διέταξε καὶ (om. Suid., leg. ἐκ) τῶν κατὰ τὰς οὐσίας τιμημάτων. καὶ τὸ πρῶτον

τέτταρα τέλη, καθάπερ διῄρητο καὶ πρότερον, εἰς πεντακοσιομέδιμνον καὶ ἱπ[πέα] καὶ ζευγίτην καὶ θῆτα. καὶ τὰς μὲ[ν ἄλλ]ας ἀρχὰς ἀπένειμεν | ἄρχειν ἐκ πεντακοσιομεδίμνων καὶ ἱππέων καὶ ζευγιτῶν, τοὺς ἐννέα ἄρχοντας p.3 καὶ τοὺς ταμίας καὶ τοὺς πωλητὰς καὶ τοὺς ἕνδεκα καὶ τοὺς κωλακρέτας, ἑκάστοις ἀνάλογον τῷ μεγέθει τοῦ τιμήματος ἀποδιδοὺς τὴν ἀρχήν. τοῖς δὲ τὸ θητικὸν τελοῦσιν ἐκκλησίας καὶ δικαστηρίων μετέδωκε μόνον. ἔδει 4 δὲ τελεῖν πεντακοσιομέδιμνον μὲν ὃς ἂν ἐκ τῆς οἰκείας ποιῇ πεντακόσια μέτρα τὰ συνάμφω ξηρὰ καὶ ὑγρά, ἱππάδα δὲ τοὺς τριακόσια ποιοῦντας, ὡς δ' ἔνιοί φασι τοὺς ἱπποτροφεῖν δυναμένους. σημεῖον δὲ φέρουσι τό τε ὄνομα τοῦ τέλους, ὡς ἂν ἀπὸ τοῦ πράγματος κείμενον, καὶ τὰ ἀναθήματα τῶν ἀρχαίων· ἀνάκειται γὰρ ἐν ἀκροπόλει εἰκὼν Διφίλου, ἐφ' ᾗ ἐπιγέγραπται τάδε·

Διφίλου Ἀνθεμίων τήνδ' ἀνέθηκε θεοῖς,
θητικοῦ ἀντὶ τέλους ἱππάδ' ἀμειψάμενος.

---

2 vel μεγιστας (Bl.[1]) vel μεν αλλας (Diels et Wn.) in papyro legi possunt; litteras aliquas esse inter με et ας (pro hoc ille quidem ν legit), de quo dubitat Bl.[3], certum est 7 τῆς] γῆς Bywater 8 ιππασια (vel δια: has litteras tres delevit corrector) δ(ε) (ειναι) δ(ε) L 11 Διφίλου secl. Murray, al.; tuetur Ludwich, *Festschrift für O. Hirschfeld* p 61 ff.

ὠνόμασε (καὶ τῷ πρώτῳ ὄνομα ἦν Suid.) πεντακοσιομεδίμνων, τὸ δεύτερον (τῷ δευτέρῳ Suid.) ἱππέων, τὸ τρίτον (τῷ τρίτῳ Suid.) ζευγιτῶν, τὸ τέταρτον (τῷ τετάρτῳ Suid.) θητῶν. τὸ πέμπτον (τῷ πέμπτῳ Suid.) ἱππὰς ἐκαλεῖτο (ἐκ. om. Suid.) cf. schol. Aristoph. Eq. (V det.) 627 εἰς τρία γὰρ μέρη τὸ παλαιὸν τῶν Ἀθηναίων διῄρητο ὁ δῆμος, εἴς τε τοὺς πεντακοσιομεδίμνους καλουμένους, οὓς διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα οὕτως ὠνόμαζον, καὶ τοὺς ἱππέας καὶ τοὺς θῆτας. οἱ μὲν οὖν πεντακοσιομέδιμνοι ἦσαν εὔποροι. οἱ δὲ ἱππεῖς ἧττον μὲν τῶν πεντακοσιομεδίμνων, μέχρι δὲ τῶν τ̅ ἐγεώργουν μέτρων. ἱππεῖς δὲ αὐτοὺς ὠνόμαζον διὰ τὸ δύνασθαι, εἴποτε αὐτοῖς χρεία γένοιτο, ἵππον ἕκαστον αὐτῶν τρέφειν. ..... ἡ δὲ τρίτη τάξις ἦσαν οἱ θῆτες παρ' αὐτοῖς, οἷς οὐδὲ ἄρχειν ἐφεῖτο, ἢ δικάζειν καὶ ἐκκλησιάζειν μόνον, ἵν' ἔκ τε τοῦ δικαστικοῦ καὶ ἐκκλησιαστικοῦ τρέφοιντο (descr. Suid. ἱππεῖς). Hesych ζευγίσιον: τῆς ἐν Ἀθήναις πολιτείας τίμημα οὕτω καλούμενον. ἦν δὲ διῃρημενη ἡ πολιτεία εἰς τέσσαρα τιμήματα.

2 Hesych. θητικόν: τὸ ἔσχατον τίμημα παρὰ Ἀθηναίοις. Harpocr. s. v. θῆτες καὶ θητικόν: ..... εἰς τέσσαρα διῃρημένης παρ' Ἀθηναίοις τῆς πολιτείας οἱ ἀπορώτατοι ἐλέγοντο θῆτες καὶ θητικὸν τελεῖν. οὗτοι δὲ οὐδεμιᾶς μετεῖχον ἀρχῆς, ὡς καὶ Ἀριστοτέλης δηλοῖ ἐν Ἀθηναίων πολιτείᾳ ..... (Epitomen descrips. Photius [unde Etym. gen., ex quo Et. M. 452,14 et Symeo (?)] et Suid.)

7 Poll. VIII 130 τιμήματα δ' ἦν τέτταρα, πεντακοσιομεδίμνων, ἱππέων, ζευγιτῶν, θητικόν (θητικῶν codd.), οἱ μὲν ἐκ τοῦ πεντακόσια μέτρα ξηρὰ καὶ ὑγρὰ ποιεῖν κληθέντες· ἀνήλισκον δ' εἰς τὸ δημόσιον τάλαντον· οἱ δὲ τὴν ἱππάδα τελοῦντες ἐκ μὲν τοῦ δύνασθαι τρέφειν ἵππους κεκλῆσθαι δοκοῦσιν, ἐποίουν δὲ μέτρα τριακόσια, ἀνήλισκον δὲ ἡμιτάλαντον· οἱ δὲ τὸ ζευγίσιον (ζευγήσιον codd.) τελοῦντες ἀπὸ διακοσίων μέτρων κατελέγοντο, ἀνήλισκον δὲ μνᾶς δέκα· οἱ δὲ τὸ θητικὸν οὐδεμίαν ἀρχὴν ἦρχον οὐδὲ ἀνήλισκον οὐδέν. (131) Ἀνθεμίων δὲ ὁ Διφίλου καλλωπίζεται δι' ἐπιγράμματος ὅτι ἀπὸ τοῦ θητικοῦ τέλους εἰς τὴν ἱππάδα μετέστη, καὶ εἰκὼν ἔστιν ἐν ἀκροπόλει ἵππος ἀνδρὶ παρεστηκώς· καὶ τὸ ἐπίγραμμα „Διφίλου Ἀνθεμίων τόνδ' ἀνέθηκεν θεοῖς, θητικοῦ ἀντὶ τέλους ἱππάδ' ἀμειψάμενος“.

Arist. Pol. Γ 11. 1282a29 τῆς μὲν ἐκκλησίας μετέχουσι καὶ βουλεύουσι καὶ δικάζουσιν ἀπὸ μικρῶν τιμημάτων καὶ τῆς τυχούσης ἡλικίας, ταμιεύουσι δὲ καὶ στρατηγοῦσι καὶ τὰς μεγίστας ἀρχὰς ἄρχουσιν ἀπὸ μεγάλων.

καὶ παρέστηκεν ἵππος ἐκμαρτυρῶν, ὡς τὴν ἱππάδα τοῦτο σημαίνουσαν. οὐ p. 3
μὴν ἀλλ' εὐλογώτερον τοῖς μέτροις διῃρῆσθαι καθάπερ τοὺς πεντακοσιομεδίμνους. ζευγίσιον δὲ τελεῖν τοὺς διακόσια τὰ συνάμφω ποιοῦντας· τοὺς δ' ἄλλους θητικόν, οὐδεμιᾶς μετέχοντας ἀρχῆς. διὸ καὶ νῦν ἐπειδὰν ἔρηται τὸν μέλλοντα κληροῦσθαί τιν' ἀρχήν, ποῖον τέλος τελεῖ, οὐδ' ἂν εἷς εἴποι θητικόν.

VIII. τὰς δ' ἀρχὰς ἐποίησε κληρωτὰς ἐκ προκρίτων, οὓς ἑκάστη προ- 1
κρίνειε τῶν φυλῶν. προύκρινεν δ' εἰς τοὺς ἐννέα ἄρχοντας ἑκάστη δέκα, καὶ ⟨ἐκ⟩ τούτων ἐκλήρουν· ὅθεν ἔτι διαμένει ταῖς φυλαῖς τὸ δέκα κληροῦν ἑκάστην, εἶτ' ἐκ τούτων κυαμεύειν. σημεῖον δ' ὅτι κληρωτὰς ἐποίησεν ἐκ τῶν τιμημάτων ὁ περὶ τῶν ταμιῶν νόμος, ᾧ χρώμενοι δια[τελ]οῦσιν ἔτι καὶ νῦν· κελεύει γὰρ κληροῦν τοὺς ταμίας ἐκ πεντακοσιομεδίμνων. [Σόλ]ων 2
μὲν οὖν οὕτως ἐνομοθέτησεν περὶ τῶν ἐννέα ἀρχόντων. τὸ γὰρ ἀρχαῖον ἡ ἐν Ἀ[ρεί]ῳ [πάγῳ βου]λὴ ἀνακαλεσαμένη καὶ κρίνασα καθ' αὑτὴν τὸν ἐπιτήδειον ἐφ' ἑκάστῃ τῶν ἀρχῶν ἐπ' [ἐν]ια[υτ]ὸν [διατάξα]σα ἀπέστελλεν. φυλαὶ δ' ἦσαν δ̄ καθάπερ πρότερον καὶ φυλοβασιλεῖς τέτταρες. [ἐκ] δὲ 3
[τῆς] φυ[λῆ]ς ἑκάστης ἦσαν νενεμημέναι τριττύες μὲν τρεῖς, ναυκραρίαι δὲ δώδεκα καθ' ἑκάστην. ἦν δ' ἐπὶ τῶν ναυκραριῶν ἀρχὴ καθεστηκυῖα ναύκραροι, τεταγμένη πρός τε τὰς εἰσφορὰς καὶ τὰς δαπ[άνας] τὰς γιγνομένας· διὸ καὶ ἐν τοῖς νόμοις τοῖς Σόλωνος οἷς οὐκέτι χρῶνται πολλα-

---

6 τ(ης) δ αρχης L   προκρινει L, corr. Gertz   7 εννε L*, α superscr. L[1]
8 ἐκ τούτων] του ..... ληρουν L, supra versum (post του) aliquid additum esse videtur, quod των potest esse, fortasse pro τ' male a L* scripto. τοὺς θ', quod legit Wn. (K-W[3]), spatio non sufficit. ἐκ τούτων (K-W[1], Gomperz) dubitanter dedi, quippe qui lectioni dubiae coniectura subvenire nolim. sed correctura in papyro facta locum pravatum indicat. littera post του altera potest ε esse, quam sequitur littera longior, ita ut ἐξεκλήρουν legi possit, si verbum tale extiterit   9 εποιησαν L, corr. Hude   12 γὰρ] δ' legit Wn. (K-W[3])   14 διατάξασα] lectio non certa; -τα legit Wn., unde ἄρξοντα Kaibel, quod non omnino improbo; sed videtur potius -σα esse   15 τεσσαρες L   16 ναυκραι|ραι L
17 ἦν δ' ἐπὶ] ita Wn.; lectio incerta, sed hanc magis nunc quam antea probo: ἐπὶ δὲ Bl.
18 ναυκραιροι L   18. 19 γινομενας L   19 τοις σολωνος νομοις L*, corr. inter scribendum L[1]

---

4 Harpocr. s. v. θῆτες καὶ θητικόν: ..... εἰς τέσσαρα διῃρημένης παρ' Ἀθηναίοις τῆς πολιτείας οἱ ἀπορώτατοι ἐλέγοντο θῆτες καὶ θητικὸν τελεῖν. οὗτοι δὲ οὐδεμιᾶς μετεῖχον ἀρχῆς, ὡς καὶ Ἀριστοτέλης δηλοῖ ἐν Ἀθηναίων Πολιτείᾳ ..... (Epitomeu exscr. et Phot. [unde Et. genuin., ex quo Et. M. 452,14 et Symeo (?)] et Suidas).

15 Phot. ναυκραρία[II]: τὸ πρότερον οὕτως ἐκάλουν (lege ἐκαλεῖτο), ναυκραρία καὶ ναύκραρος. ναυκραρία μὲν ὁποῖόν τι ἡ συμμορία καὶ ὁ δῆμος, ναύκραρος δὲ ὁποῖόν τι ὁ δήμαρχος, Σόλωνος οὕτως ὀνομάσαντος, ὡς καὶ Ἀριστοτέλης φησί· καὶ ἐν τοῖς νόμοις δέ· "ἄν τις ναυκραρίας ἀμφισβητῇ". καὶ "τοὺς ναυκράρους τοὺς κατὰ ναυκραρίαν". ὕστερον δὲ ἀπὸ Κλεισθένους δῆμοί εἰσιν, καὶ δήμαρχοι ἐκλήθησαν. ἐκ τῆς Ἀριστοτέλους πολιτείας ὃν τρόπον διέταξε τὴν πολιτείαν ὁ Σόλων· „φυλαὶ δὲ ἦσαν τέσσαρες καθάπερ πρότερον καὶ φυλοβασιλεῖς τέσσαρες, ἐκ δὲ τῆς φυλῆς ἑκάστης ἦσαν νενεμημέναι τριττύες μὲν τρεῖς, ναυκραρίαι δὲ δώδεκα καθ' ἑκάστην." ..... Hesych. s. v. ναύκλαροι: .... τινὲς δὲ ἀφ' ἑκάστης φυλῆς δώδεκα, οἵ τινες ἀφ' ἑκάστης χώρας τὰς εἰσφορὰς ἐξέλεγον, ὕστερον δὲ δήμαρχοι ἐκλήθησαν. Poll. VIII 108 δήμαρχοι οἱ κατὰ δήμους ἄρχοντες. ἐκαλοῦντο δὲ τέως ναύκραροι ὅτε καὶ οἱ δῆμοι ναυκραρίαι. ναυκραρία δ' ἦν τέως φυλῆς δωδέκατον μέρος καὶ ναύκραροι ἦσαν δώδεκα, τέτταρες κατὰ τριττὺν ἑκάστην. τὰς δ' εἰσφορὰς τὰς κατὰ δήμους διεχειροτόνουν οὗτοι καὶ τὰ ἐξ αὐτῶν ἀναλώματα.

χο[ῦ γέ]γραπται 'τοὺς ναυκράρους εἰσπράττειν' καὶ ἀναλίσκειν ἐκ τοῦ p.3
ναυκραρικοῦ ἀργυρ[ίο]υ'. β[ου]λὴν δ' ἐποίησε τετρακοσίους, ἑκατὸν ἐξ 4
ἑκάστης φυλῆς, τὴν δὲ τῶν Ἀρεοπαγιτῶν ἔταξεν ἐπὶ [τὸ] νομοφυλακεῖν, ὥσπερ
ὑπῆρχεν καὶ πρότερον ἐπίσκοπος οὖσα τῆς πολιτείας, καὶ τά τε ἄλλα τὰ
πλεῖστα καὶ τὰ μέγιστα τῶν πολιτ⟨ικ⟩ῶν διετήρει καὶ τοὺς ἁμαρτάνοντας
ηὔθυνεν κυρία οὖσα καὶ [ζη]μιοῦν καὶ κολάζειν, καὶ τὰς ἐκτίσεις ἀνέφερεν
εἰς πόλιν, οὐκ ἐπιγράφουσα τὴν π[ρ]όφασιν δι' ὃ [τὸ ἐ]κτ[ίν]εσθαι, καὶ
τοὺς ἐπὶ καταλύσει τοῦ δήμου συνισταμένους ἔκρινεν, Σόλωνος θέντ[ος]
νόμον εἰσα[γγ]ελ[ία]ς περὶ αὐτῶν. ὁρῶν δὲ τὴν μὲν πόλιν πολλάκις 5
στασιάζουσαν, τῶν δὲ πολιτῶν ἐνίους διὰ τὴν ῥαθυμίαν [ἀγα]πῶντας τὸ
αὐτόματον, νόμον ἔθηκεν πρὸς αὐτοὺς ἴδιον, ὃς ἂν στασιαζούσης τῆς πόλεως
μ[ὴ] θῆται τὰ ὅπλα μηδὲ μεθ' ἑτέρων, ἄτιμον εἶναι καὶ τῆς πόλεως μὴ
μετέχειν.
IX. τὰ μὲν οὖν [περὶ τὰ]ς ἀρχὰς τ[οῦ]τον εἶχε τὸν τρόπον. δοκεῖ 1
δὲ τῆς Σόλωνος πολιτείας τρία ταῦτ' εἶναι τὰ δημοτικώτατα· πρῶτον μὲν
καὶ μέγιστον τὸ μὴ δανείζειν ἐπὶ τοῖς σώμασιν, ἔπειτα τὸ ἐξεῖναι τῷ βουλο-
μένῳ τιμωρ[εῖ]ν ὑπὲρ τῶν ἀδικουμένων, τρίτον δέ, ⟨ᾧ⟩ μάλιστά φασιν
ἰσχυκέναι τὸ πλῆθος, ἡ εἰς τὸ δικαστή[ριον] ἔφε[σι]ς· κύριος γὰρ ὢν ὁ

---

4 καὶ τά τε ἄλλα] de και dubitat Bl., qui [ἢ] legit; sed compendii signum paene certum est 5 πολιτικῶν Richards, al. 7 δι' ὃ τὸ ἐκτίνεσθαι] lectio haec, quamquam incerta, vestigiis aptior quam ceterae est: διὰ τὸ [εὐ]θύ[ν]εσθαι legit Wn., del. Wilam. ἐκτίνεσθαι Tyrrell, Bl. 9 εισαγγελ . . . legit Wessely; del. Wilam. πολλακιστα- I. 10 ἀγαπῶντας K-W, quod verisimile est, sed etiam περιορῶντας (Bury) non omnino abicieudum est 16 δανιζειν I. 17 ῳ add. H-I., al., ᾧ καὶ K-W

---

11 Gell. II 12 *in legibus Solonis illis antiquissimis, quae Athenis axibus ligneis incisae sunt quasque latas ab eo Athenienses ut sempiternae manerent, poenis et religionibus sanxerunt, legem esse Aristoteles refert scriptam ad hanc sententiam: „si ob discordiam dissensionemque seditio atque discessio populi in duas partes fiet* (sic deteriores; *fieret* VPR) *et ob eam causam irritatis animis utrimque arma capientur pugnabiturque, tum qui in eo tempore in eoque casu civilis discordiae non alterutrae parti* (sic deteriores; *alterutra parte* VPR) *sese adiunxerit, sed solitarius separatusque a communi malo civitatis secesserit, is domo patria fortunisque omnibus careto, exul extorrisque esto."*

15 Arist. Pol. B 12. 1273b41 ἔοικε δὲ Σόλων ἐκεῖνα μὲν ὑπάρχοντα πρότερον οὐ καταλῦσαι, τήν τε βουλὴν καὶ τὴν τῶν ἀρχῶν αἵρεσιν, τὸν δὲ δῆμον καταστῆσαι, τὰ δικαστήρια ποιήσας ἐκ πάντων. διὸ καὶ μέμφονταί τινες αὐτῷ· λῦσαι γὰρ θάτερον, κύριον ποιήσαντα τὸ δικαστήριον πάντων, κληρωτὸν ὄν. ἐπεὶ γὰρ τοῦτ' ἴσχυσεν, ὥσπερ τυράννῳ τῷ δήμῳ χαριζόμενοι τὴν πολιτείαν εἰς τὴν νῦν δημοκρατίαν κατέστησαν.

Arist. Pol. B 12. 1274a15 Σόλων γε ἔοικε τὴν ἀναγκαιοτάτην ἀποδιδόναι τῷ δήμῳ δύναμιν, τὸ τὰς ἀρχὰς αἱρεῖσθαι καὶ εὐθύνειν (μηδὲ γὰρ τούτου κύριος ὢν ὁ δῆμος δοῦλος ἂν εἴη καὶ πολέμιος), τὰς δ' ἀρχὰς ἐκ τῶν γνωρίμων καὶ τῶν εὐπόρων κατέστησε πάσας, ἐκ τῶν πεντακοσιομεδίμνων καὶ ζευγιτῶν καὶ τρίτου τέλους τῆς καλουμένης ἱππάδος· τὸ δὲ τέταρτον θητικόν, οἷς οὐδεμιᾶς ἀρχῆς μετῆν.

Arist. Pol. Γ 11. 1281b23 τίνων δεῖ κυρίους εἶναι τοὺς ἐλευθέρους καὶ τὸ πλῆθος τῶν πολιτῶν; ... (31) λείπεται δὴ τοῦ βουλεύεσθαι καὶ κρίνειν μετέχειν αὐτούς. διόπερ καὶ Σόλων καὶ τῶν ἄλλων τινὲς νομοθετῶν τάττουσιν ἐπί τε τὰς ἀρχαιρεσίας καὶ τὰς εὐθύνας τῶν ἀρχόντων, ἄρχειν δὲ κατὰ μόνας οὐκ ἐῶσιν.

δῆμος τῆς ψήφου κύριος γίγνεται τῆς πολιτείας. ἔτι δὲ καὶ διὰ τὸ μὴ 2
γεγράφθ[αι το]ὺς νόμους ἁπλῶς μηδὲ σαφῶς, ἀλλ' ὥσπερ ὁ περὶ τῶν p. 3
κλήρων καὶ ἐπικλήρων, ἀνάγκη [πο]λλὰς ἀμφισβητήσεις γίγνεσθαι καὶ πάντα
βραβεύειν καὶ τὰ κοινὰ καὶ τὰ ἴδια τὸ δικαστήρ[ιον]. οἴονται μὲν οὖν τινες
ἐπίτηδες ἀσαφεῖς αὐτὸν ποιῆσαι τοὺς νόμους, ὅπως ᾖ τῆς κρίσεως [ὁ] δῆ-
[μος κ]ύριος. οὐ μὴν εἰκός, ἀλλὰ διὰ τὸ μὴ δύνασθαι καθόλου περιλαβεῖν
τὸ βέλτιστον· οὐ γὰρ [δ]ίκ[αιον] ἐκ τῶν νῦν γιγνομένων ἀλλ' ἐκ τῆς ἄλλης
πολιτείας θεωρεῖν τὴν ἐκείνου βούλησιν.

X. ἐν μὲν οὖν τοῖς νόμοις ταῦτα δοκεῖ θεῖναι δημοτικά, πρὸ δὲ τῆς 1
νομοθεσίας ποιῆσαι τὴν τῶν χ[ρ]εῶν [ἀπο]κοπὴν καὶ μετὰ ταῦτα τήν τε
τῶν μέτρων καὶ σταθμῶν καὶ τὴν τοῦ νομίσματος αὔξησιν. ἐπ' ἐκείνου 2
γὰρ ἐγένετο καὶ τὰ μέτρα μείζω τῶν Φειδωνείων, καὶ ἡ μνᾶ πρότερον
ἔχ[ο]υσα [σ]ταθμὸν ἑβδομήκοντα δραχμὰς ἀνεπληρώθη ταῖς ἑκατόν. | ἦν p. 4
δ' ὁ ἀρχαῖος χαρακτὴρ δίδραχμον. ἐποίησε δὲ καὶ σταθμὰ πρὸς τ[ὸ] νόμισμα
τ[ρ]εῖς καὶ ἑξήκοντα μνᾶς τὸ τάλαντον ἀγούσας, καὶ ἐπιδιενεμήθησαν [αἱ
τ]ρεῖς μναῖ τῷ στατῆρι καὶ τοῖς ἄλλοις σταθμοῖς.

XI. διατάξας δὲ τὴν πολιτείαν ὅνπερ εἴρηται τρόπον, ἐπειδὴ προσιόντες 1
αὐτῷ περὶ τῶν νόμων ἐνώχλουν, τὰ μὲν ἐπιτιμῶντες τὰ δὲ ἀνακρίνοντες,
βουλόμενος μήτε ταῦτα κινεῖν μήτ' ἀπεχθάνεσθαι παρών, ἀποδημίαν ἐποιή-
σατο κατ' ἐμπορίαν ἅμα καὶ θεωρίαν εἰς Αἴγυπτον, ε[ἰπ]ὼν ὡς οὐχ [ἥ]ξει δέκα
ἐτῶν· οὐ γὰρ οἴεσθαι δίκαιον εἶναι τοὺς νόμους ἐξηγεῖσθαι παρών, ἀλλ' ἕκαστον
τὰ γεγραμμένα ποιεῖν. ἅμα δὲ καὶ συνέβαινεν αὐτῷ τῶν τε γνωρίμων 2
διαφόρους γεγενῆσθαι πολλοὺς διὰ τὰς τῶν χρεῶν ἀποκοπάς, καὶ τὰς στάσεις
ἀμφοτέρας μεταθέσθαι διὰ τὸ παράδοξον αὐτοῖς γενέσθαι τὴν κατάστασιν.
ὁ μὲν γὰρ δῆμος ᾤετο πάντ' ἀνάδαστα ποιήσειν αὐτόν, οἱ δὲ γνώριμοι
πάλιν εἰς τὴν αὐτὴν τάξιν ἀποδώσειν ἢ μ[ικ]ρ[ὸ]ν παραλλάξ[ειν]. ⟨ὁ δὲ⟩
Σόλων ἀμφοτέροις ἠναντιώθη, καὶ ἐξὸν αὐτῷ μεθ' ὁποτέρων ἐβούλετο
συστά[ντ]α τυραννεῖν εἵλετο πρὸς ἀμφοτέρους ἀπεχθέσθαι, σώσας τὴν πα-
τρίδα καὶ τὰ βέ[λτι]στα νομοθετήσας.

1 γινεται L 3 γινεσθαι L 6 περιλαβειν καθολου L*, corr. inter scribendum L[1] 7 γινομενων L 10 ποιῆσαι potius quam ποιήσας (Wn., K-W[3]) habere videtur L; neque καὶ, quod se dispexisse putat Wn. (del. K-W[3]) videre possum 13 ἔχουσα recte Wn. σταθμὸν Diels 19 κεινειν L 20 εἴπων ὡς οὐχ ἥξει Wessely et Bl. 24 . . σαν ταξιν L* (ι. σαν Diels, Wn., ουσαν ego antea, νέαν coni. Diels), καταστασιν suprascr. L[1] 25 ωετο L 26 εἰς secl. K-W[1,3], ἢ K-W[2], Bl.[3] παραλλάξ[ειν] Σολων legit Wn., quod vestigiis fortasse aptari potest; ο δ' suprascriptum fuisse coni. idem 27 ηβουλετο L (K-W, Bl.); cf. Meisterhans [3], p. 169 28 απεχθεσθηναι L, ἀπεχθέσθαι Wyse, cett., ἀπεχθάνεσθαι Aristides (v. testim.)

1 Arist. Pol. Γ 11. 1282b2 δεῖ τοὺς νόμους εἶναι κυρίους κειμένους ὀρθῶς, τὸν ἄρχοντα δέ, ἄν τε εἷς ἄν τε πλείους ὦσι, περὶ τούτων εἶναι κυρίους περὶ ὅσων ἐξαδυνατοῦσιν οἱ νόμοι λέγειν ἀκριβῶς διὰ τὸ μὴ ῥᾴδιον εἶναι καθόλου διορίσαι περὶ πάντων.

27 Aristid. II 360 Di. ἐκεῖνος μέντοι παρὸν αὐτῷ στασιαζούσης τῆς πόλεως ὁποτέρων βούλοιτο προστάντι τυραννεῖν, ἀπεχθάνεσθαι μᾶλλον ἀμφοτέροις εἵλετο ὑπὲρ τοῦ δικαίου, καὶ τῶν μὲν πλουσίων ὅσον καλῶς εἶχεν ἀφεῖλε, τῷ δήμῳ δ' οὐκ ἔδωκεν ὅσον ἐβούλετο, ἔστη δ' ἐν μεθορίῳ πάντων ἀνδρειότατα καὶ δικαιότατα.

XII. ταῦτα δ' ὅτι τοῦτον ⟨τὸν⟩ τρόπον ἔσχεν οἵ τ' ἄλλοι συμφωνοῦσι 1
πάντες καὶ αὐτὸς ἐν τῇ ποιήσει μέμνηται περὶ αὐτῶν ἐν τοῖσδε· p.4

δήμῳ μὲν γὰρ ἔδωκα τόσον γέρας ὅσσον ἀπαρκεῖ,
τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος·
οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί,
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν.
ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι,
νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.

πάλιν δ' ἀποφαινόμενος περὶ τοῦ πλήθους, ὡς αὐτῷ δεῖ χρῆσθαι· 2

δῆμος δ' ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίαν ἀνεθεὶς μήτε βιαζόμενος.
τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται
ἀνθρώποισιν ὅσοις μὴ νόος ἄρτιος ᾖ.

καὶ πάλιν δ' ἑτέρωθί που λέγει περὶ τῶν διανείμασθαι τὴν γῆν βουλομένων· 3

οἳ δ' ἐφ' ἁρπαγαῖσιν ἦλθον, ἐλπίδ' εἶχον ἀφνεάν
κἀδόκουν ἕκαστος αὐτῶν ὄλβον εὑρήσειν πολύν,
καί με κωτίλλοντα λείως τραχὺν ἐκφανεῖν νόον·
χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
λοξ[ὸν ὀ]φθαλμοῖσ' ὁρῶσι πάντες ὥστε δήιον.
οὐ χρεών· ἃ μὲν γὰρ εἶπα σὺν θεοῖσιν ἤνυσα,
ἄ[λλ]α δ' ο[ὐ] μάτην ἔερδον, οὐδέ μοι τυραννίδος
ἁνδάνει βίᾳ τι [ῥέζ]ειν, οὐδὲ πιεί[ρ]ας χθονὸς
πατρίδος κακοῖσιν ἐσθλοὺς ἰσομοιρίαν ἔχειν.

---

3 δημοι L γέρας] κράτος Plut. (vid. test.) 4. 5 απορεξαμενος οσοι L, corr. sec. Plut. 11 λίην Plut. βιαζόμενος] πιεζόμενος Plut. 12 πολὺς] κακῷ Theognis (vid. test.) 13 ἀνθρώπῳ καὶ ὅτῳ Theogn.

---

3 Plut. Sol. 18 ἐπισημαίνεται δ' αὐτῷ τὴν ἀξίωσιν οὕτως· "δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος ὅσσον ἐπαρκεῖ, | τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος· | οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί, | καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν. | ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισιν· | νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως."

10 Plut. comp. Sol. et Popl. 2 καὶ τοῦτο δ' ἔοικε συνιδεῖν πρότερος ὁ Σόλων ὅτι δῆμος "ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο | μήτε λίην ἀνεθεὶς μήτε πιεζόμενος."

12 cf. Theogn. 153 τίκτει τοι κόρος ὕβριν ὅταν κακῷ ὄλβος ἕπηται | ἀνθρώπῳ καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.

18 Plut. Sol. 16 ὅτι δ' οὖν προσέκρουσε τοῖς πλείστοις, ἕτερα προσδοκήσασιν, αὐτὸς εἴρηκε περὶ αὐτῶν, ὡς "χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι | λοξὸν ὀφθαλμοῖς ὁρῶσι πάντες ὥστε δήιον."

21 sqq. Aristid. Or. 28, 137 II 185 Keil ὁ δὲ δὴ Σόλων καὶ βιβλίον ἐξεπίτηδες πεποίηκεν ὥσπερ ἡμεῖς εἰς τὴν Ἀθηνᾶν, οὕτως ἐκεῖνος εἰς αὑτὸν καὶ τὴν ἑαυτοῦ πολιτείαν, ἐν ᾧ ἄλλα τε δὴ λέγει καὶ ταῦτα "ἃ μὲν γὰρ ἄελπτα σὺν θεοῖσιν ἤνυσα, ἄλλα δ' οὐ μάτην ἔρδον". ὁρᾷς ὡς αὐθαδῶς καὶ οὐ τῆς σῆς συμβουλῆς; καὶ ταῦτα μέν ἐστιν ἐν τετραμέτροις, ἐν δὲ τοῖς ἰάμβοις· "συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ χρόνου | μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων | ἄριστα, γῆ μέλαινα, ἧς ἐγώ ποτε | ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότας, | πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα. | πολλοὺς δ' Ἀθήνας πατρίδ' εἰς θεόκτιτον (θεόκτιστον ASU) | ἀνήγαγον πρα-

[πάλιν] δὲ καὶ περὶ τῆς ἀπ[οκ]οπῆς τῶν χ[ρε]ῶν καὶ τῶν δουλευόντων 4
μὲν πρότερον ἐλευθερωθέντων δὲ διὰ τὴν σεισάχθειαν· p. 4

ἐγὼ δὲ τῶν μὲν οὕνεκα ξ[υ]νήγαγον
δῆμον, τί τούτων πρὶν τυχεῖν ἐπαυσάμην;
συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ χρόνου
μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων
ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτε
ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότα[ς],
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα.
πολλοὺς δ' Ἀθήνας, πατρίδ' εἰς θεόκτιτον,
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὑπὸ
χρειοῦς φυγόντας, γλῶσσαν οὐκέτ' Ἀττικὴν
ἱέντας, ὡς ἂν πολλαχῇ πλανωμένους,
τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας, ἤθη δεσποτῶν τρομευμέν[ους],
ἐλευθέρους ἔθηκα. ταῦτα μὲν κράτει
νόμου, βίαν τε καὶ δίκην συναρμόσας,
ἔρεξα, καὶ διῆλθον ὡς ὑπεσχ[ό]μην.
θεσμοὺς θ' ὁμοίως τῷ κακῷ τε κἀγαθῷ,
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην,
ἔγραψα. κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβών,

---

1 πάλιν] lectio incerta, sed haec vestigiis non incongruens est; potest etiam littera ultima ς esse. ....ει legit Wn., sed dubito ἀποκοπῆς τῶν χρεῶν legit et supplevit Wessely. ab αποκοπης (ut vid.) incipit frag. Berol. I a [B] 3 οὕνεκα ξυνήγαγον Platt, H-L, al. 4 δῆμον κτλ.] ita interpunxit Jebb (S., al.) ἐπαυσάμην] ·σαμαν B 5 συμμαρτυροιην B 6 ολυμπιων] ολ habet B (L deficit) 10 θεοκτιστον L 11 ανηγαγον] ανη habet B 14 πλανωμενους] πλαν.... ους L, ... νωμενους B 17. 18 κρατεεινομου L, κρατηομου B, κρατει (al. -η) ομου Aristides (K-W, Bl.) 19 υπισχομην L 20 θεσμον B θ'] τε L*, θ suprascr. L[1]; δ' (?) B (K-W, Bl.)

θέντας, ἄλλον ἐκδίκως, | ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὕπο | χρησμὸν λέγοντας γλῶσσαν οὐκέτ' Ἀττικὴν | ἱέντας, ὡς ἂν πολλαχῇ πλανωμένους, | τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλείης ἀεικέα | ἔχοντας ἤδη δεσποτῶν τρομευμένους | ἐλευθέρους ἔθηκα. ταῦτα μὲν κράτει | ὁμοῦ βίαν τε καὶ δίκην συναρμόσας | ἔρεξα καὶ διῆλθον ὡς ὑπεσχόμην. | θεσμοὺς δ' ὁμοίως τῷ κακῷ τε κἀγαθῷ | εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην | ἔγραψα. κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβὼν | κακοφραδής τε καὶ φιλοκτήμων ἀνὴρ | οὐκ ἂν κατέσχε δῆμον."

7 sqq. Plut. Sol. 15: σεμνύνεται γὰρ Σόλων ἐν τούτοις, ὅτι τῆς τε προϋποκειμένης γῆς "ὅρους ἀνεῖλε πολλαχῇ πεπηγότας | πρόσθεν δὲ δουλεύουσα νῦν ἐλευθέρα," καὶ τῶν ἀγωγίμων πρὸς ἀργύριον γεγονότων πολιτῶν, τοὺς μὲν ἀνήγαγεν ἀπὸ ξένης "γλῶσσαν οὐκέτ' Ἀττικὴν | ἱέντας ὡς ἂν πολλαχῇ πλανωμένους· | τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλείην ἀεικέα | ἔχοντας" ἐλευθέρους φησὶ ποιῆσαι.

18 Plut. Sol. 15 ἃ δὲ καὶ λέγων ἤλπιζε πειθομένοις καὶ προσάγων ἀνάγκην ὑπομένουσι χρήσασθαι, ταῦτ' ἔπραττεν, ὥς φησιν αὐτός, "ὁμοῦ βίην τε καὶ δίκην συναρμόσας."

[κ]ακοφραδής τε καὶ φιλοκτήμων ἀνήρ, p. 4
οὐκ ἂν κατέσχε δῆμον· εἰ γὰρ ἤθελον
ἃ τοῖς ἐναντίο[ισι]ν ἥνδανεν τότε,
αὖθις δ' ἃ τοῖσιν οὕτεροι φρασαίατο,
πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχηρώθη πόλις.
τῶν οὕνεκ' ἀλκὴν πάντοθεν ποιούμενος
ὡς ἐν κυσὶν πολλαῖσιν ἐστράφην λύκος.

καὶ πάλιν ὀνειδίζων πρὸς τὰς ὕστερον αὐτῶν μεμψιμοιρίας ἀμφοτέρων· 5

δήμῳ μὲν εἰ χρὴ διαφάδην ὀνειδίσαι,
ἃ νῦν ἔχουσιν οὔποτ' ὀφθαλμοῖσιν ἂν
εὕδοντες εἶδον.
ὅσοι δὲ μείζους καὶ βίαν ἀμείνονες
αἰνοῖεν ἄν με καὶ φίλον ποιοίατο·

εἰ γάρ τις ἄλλος, φησί, ταύτης τῆς τιμῆς ἔτυχεν,

οὐκ ἂν κατέσχε δῆμον οὐδ' ἐπαύσατο,
πρὶν ἀνταράξας πῖαρ ἐξεῖλεν γάλα. |
ἐγὼ δὲ τούτων ὥσπερ ἐν μεταιχμίῳ p. 5
ὅρος κατέστην.

XIII. τὴν μὲν οὖν ἀποδημίαν ἐποιήσατο διὰ ταύτας τὰς αἰτίας. 1 Σόλωνος δ' ἀποδημήσαντος, ἔτι τῆς πόλεως τεταραγμένης, ἐπὶ μὲν ἔτη τέτταρα διῆγον ἐν ἡσυχίᾳ· τῷ δὲ πέμπτῳ μετὰ τὴν Σόλωνος ἀρχὴν οὐ κατέστησαν ἄρχοντα διὰ τὴν στ[άσ]ιν, καὶ πάλιν ἔτει πέμπτῳ διὰ τὴν αὐτὴν αἰτίαν ἀναρχίαν ἐποίησαν. μετὰ δὲ ταῦτα διὰ τῶν αὐτῶν χρόνων Δα- 2 μασίας αἱρεθεὶς ἄρχων ἔτη δύο καὶ δύο μῆνας ἦρξεν, ἕως ἐξηλάθη βίᾳ τῆς ἀρχῆς. εἶτ' ἔδοξ[εν] αὐτοῖς διὰ τὸ στασιάζειν ἄρχοντας ἑλέσθαι δέκα,

---

2 ηθελον B, Arist.; η . . λαν L, ut vid. 3 ἃ τοῖς B, Arist.; αυτοις L ἃ τοισιν Arist.: αυτοισιν L 4 οὕτεροι] ἀτέροις Arist. φρασαίατο] δρᾶσαι διά Arist. 5 εχει[ρωθη] B, quod hic desinit 7 πολλαῖσιν] ita L, ut credo; πολλησιν Wn., K-W, Bl. ἐστράφην Arist.: ετραφην (aut εγρ-) L 9 διαφραδην L, corr. Kontos, al. 10 ουποτε L 16 πυαρ L, πῖαρ Plut. 19 ταυτ(ην) τ(η)ν L*, corr. L¹ 22 κατέστησαν] hic incipit frag. Berol. I b δια (post πέμπτῳ) B (διὰ ταύτην τήν, ut vid.), om. L 23 αναρχιαν] αρχαιαν L, corr. Campbell, cett. 23. 24 Δαμασιας B, Δ[.]μα[. . . .] L 24 εξηλασθη BL

---

2 Aristid. l. c. 140 p. 186,15 K: εἶτα τί φησιν ὁ Σόλων; "εἰ γὰρ ἤθελον | ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε | αὖθις δ' ἃ τοῖσιν ἀτέροις δρᾶσαι διὰ | πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχειρώθη πόλις. | τῶν οὕνεκ' ἀρχὴν πάντοθεν κυκεύμενος | ὡς ἐν κυσὶν πολλαῖσιν ἐστράφην λύκος." ὁρᾷς ὅτι καὶ Σόλων καλλωπίζεται καὶ σοῦ μεῖζον ἐφ' αὑτῶι φρονεῖ. ἡγεῖτο γάρ, οἶμαι, τὰ εἰς αὑτὸν αὑτῶι ταῦτα ἐγκώμια πεποιημένα λυσιτελεῖν τοῖς ἄλλοις γίγνεσθαι παραδείγματα.

15 Plut. Sol. 16 καίτοι φησίν, ὡς εἴ τις ἄλλος ἔσχε τὴν αὐτὴν δύναμιν, "οὔτ' ἂν κατέσχε δῆμον οὔτ' ἐπαύσατο | πρὶν ἂν ταράξας πῖαρ ἐξέλῃ γάλα."

17 Aristid. II 360 Di. (de Solone) ἔστη δ' ἐν μεθορίῳ πάντων ἀνδρειότατα καὶ δικαιότατα. (cf. test. 11,27)

πέντε μὲν εὐπατριδῶν, τρεῖς δὲ ἀ[γ]ροίκων, δύο δὲ δημιουργῶν, καὶ οὗτοι p.5 τὸν μετὰ Δαμασίαν ἦρξαν ἐνιαυτόν. ᾧ καὶ δῆλον ὅτι μεγίστην εἶχεν δύναμιν ὁ ἄρχων· φαίνονται γὰρ αἰεὶ στασιάζοντες περὶ ταύτης τῆς ἀρχῆς. ὅλως δὲ διετέλουν νοσοῦντες τὰ πρὸς ἑαυτούς, οἱ μὲν ἀρχὴν καὶ πρόφασιν 3 ἔχοντες τὴν τῶν χρεῶν ἀποκοπήν (συνεβεβήκει γὰρ αὐτοῖς γεγονέναι πένησιν), οἱ δὲ τῇ πολιτείᾳ δυσχεραίνοντες διὰ τὸ μεγάλην γεγονέναι μεταβολήν, ἔνιοι δὲ διὰ [τὴν] πρὸς ἀλλήλους φιλονικίαν. ἦσαν δ' αἱ στάσεις 4 τρεῖς· μία μὲν τῶν παραλίων, ὧν προειστήκει Μεγακλῆς ὁ Ἀλκμέωνος, οἵπερ ἐδόκουν μάλιστα διώκειν τὴν μέσην πολιτείαν· ἄλλη δὲ τῶν πεδιακῶν, οἳ τὴν ὀλιγαρχίαν ἐζήτουν, ἡγεῖτο δ' αὐτῶν Λυκοῦργος· τρίτη δ' ἡ τῶν διακρίων, ἐφ' ᾗ τεταγμένος ἦν Πεισίστρατος, δημοτι[κ]ώτατος εἶναι δοκῶν. προσεκεκόσμηντο δὲ τούτοις οἵ τε ἀφ[η]ρημένοι τὰ χρέα διὰ τὴν ἀπορ[ί]αν 5 καὶ οἱ τῷ γένει μὴ καθαροὶ διὰ τὸν φόβον· σημεῖον δ', ὅτι μετὰ τὴν [τῶν] τυράννων κατάλυσιν ἐποίησαν διαψηφισμόν, ὡς πολλῶν κοινωνούντων τῆς πολιτείας οὐ προσῆκον. εἶχον δὲ ἕκαστοι τὰς ἐπωνυμίας ἀπὸ τῶν τόπων ἐν οἷς ἐγεώργουν.

XIV. δημοτικώτατος δ' εἶναι δοκῶν ὁ Πεισίστρατος καὶ σφόδρ' 1 εὐδοκιμηκὼς ἐν τῷ πρὸς Μεγαρέας πολέμῳ, κατατραυματίσας ἑαυτὸν συνέπεισε τὸν δῆμον, ὡς ὑπὸ τῶν ἀντιστασιωτῶν ταῦτα πεπονθώς, φυλακὴν ἑαυτῷ δοῦναι τοῦ σώματος, Ἀριστίωνος γράψαντος τὴν γνώμην. λαβὼν δὲ τοὺς κορυνηφόρους καλουμένους, ἐπαναστὰς μετὰ τούτων τῷ δήμῳ κατέσχε τὴν ἀκρόπολιν ἔτει δευτέρῳ καὶ τριακοστῷ μετὰ τὴν τῶν νόμων

---

1 πεντε] ita etiam B (...τε, non -ας, ut antea lectum est) μεν om. L*, suprascr. L¹ αποικων B, αγρ. L, ut vid., et cf. testim. 2. 3 εἶχεν δύναμιν] δυναμιν ειχεν B 3 αἰεὶ] αει B 4 νοσοῦντες om. B 7 δὲ] μεν B την B, ut vid. φιλονεικιαν B δεαι B 9 αλλοι L*, η suprascr. L¹ 12 χρέα] hic desinit B 14 δ(ια)φημισμο(ν) L 20 Ἀρίστωνος Plut.

---

7 Hesych. ἀγροιῶται: ἄγροικοι. καὶ γένος Ἀθήνησιν, οἳ ἀντιδιέστελλον πρὸς τοὺς Εὐπατρίδας. ἦν δὲ καὶ τὸ τῶν γεωργῶν καὶ τρίτον τὸ τῶν δημιουργῶν.

10 Schol. Ar. Vesp. 1218 (V) κατὰ γὰρ τοὺς Σόλωνος νόμους τρεῖς ἦσαν αἱ τάξεις, μία μὲν τῶν παραλίων (ἐν τῷ παραλίῳ V, corr. Portus), ὧν προειστήκει Μεγακλῆς, ἑτέρα δὲ τῶν πεδιέων, ὧν προειστήκει Λυκοῦργος, τρίτη δὲ τῶν διακρίων (διακριέων V, corr. Dindorf), ὧν προειστήκει (προεστήκει V semper; corr. Dindorf) Πεισίστρατος.

18 Herod. I 59 (Πεισίστρατος) τρωματίσας ἑωυτόν τε καὶ ἡμιόνους ἤλασε ἐς τὴν ἀγορὴν τὸ ζεῦγος, ὡς ἐκπεφευγὼς τοὺς ἐχθρούς, οἵ μιν ἐλαύνοντα ἐς ἀγρὸν ἠθέλησαν ἀπολέσαι δῆθεν· ἐδέετό τε τοῦ δήμου φυλακῆς τινος πρὸς αὐτοῦ κυρῆσαι, πρότερον εὐδοκιμήσας ἐν τῇ πρὸς Μεγαρέας γενομένῃ στρατηγίῃ, Νίσαιάν τε ἑλὼν καὶ ἄλλα ἀποδεξάμενος μεγάλα ἔργα. ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων ἐξαπατηθεὶς ἔδωκέ οἱ τῶν ἀστῶν καταλέξας ἄνδρας τούτους, οἳ δορυφόροι μὲν οὐκ ἐγένοντο Πεισιστράτου, κορυνηφόροι δέ· ξύλων γὰρ κορύνας ἔχοντες εἵποντό οἱ ὄπισθε. συνεπαναστάντες δὲ οὗτοι ἅμα Πεισιστράτῳ ἔσχον τὴν ἀκρόπολιν.

ex narratiunculis quae sat multae de his rebus circumferuntur, possunt ex Aristotele aliqua ratione sumpta esse, quae Aelianus scribit v. h. VIII 16 Σόλων ὁ Ἐξηκεστίδου γέρων ἤδη ὢν ὑπώπτευε Πεισίστρατον τυραννίδι ἐπιθήσεσθαι, ἡνίκα παρῆλθεν ἐς τὴν ἐκκλησίαν τῶν Ἀθηναίων καὶ ᾔτει φρουρὰν ὁ Πεισίστρατος. ὁρῶν δὲ τοὺς Ἀθηναίους τῶν μὲν

θέσιν ἐπὶ Κωμέου ἄρχοντος. λέγεται δὲ Σόλωνα, Πεισιστράτου τὴν 2
φυλακὴν αἰτοῦντος, ἀντιλέξαι καὶ εἰπεῖν ὅτι τῶν μὲν εἴη σοφώτερος, τῶν p. 5
δ' ἀνδρειό[τε]ρος· ὅσοι μὲν γὰρ ἀγνοοῦσι Πεισίστρατον ἐπιτιθέμενον

---

1 Πισιστρατου hic et alibi L (exc. p. 15,17. 20,4)

αὐτοῦ λόγων ῥαθύμως ἀκούοντας, προσέχοντας δὲ τῷ Πεισιστράτῳ ἔφη ὅτι τῶν μέν ἐστι σοφώτερος, τῶν δὲ ἀνδρειότερος. ὁπόσοι μὲν μὴ γινώσκουσιν ὅτι φυλακὴν λαβὼν περὶ τὸ σῶμα τύραννος ἔσται, ἀλλὰ τούτων μέν ἐστι σοφώτερος· ὁπόσοι δὲ γινώσκοντες ὑποσιωπῶσι, τούτων ἀνδρειότερός ἐστιν. ὁ δὲ λαβὼν τὴν δύναμιν, τύραννος ἦν. καθεζόμενος δὲ Σόλων πρὸ τῆς οἰκίας τὴν ἀσπίδα καὶ τὸ δόρυ παραθέμενος ἔλεγεν ὅτι ἐξώπλισται καὶ βοηθεῖ τῇ πατρίδι ᾗ δύναται, στρατηγὸς μὲν διὰ τὴν ἡλικίαν, εὔνους δὲ διὰ τὴν γνώμην. ὅμως οὖν Πεισίστρατος, εἴτε αἰδοῖ τῇ πρὸς τὸν ἄνδρα καὶ τὴν σοφίαν αὐτοῦ εἴτε καὶ μνήμῃ τῶν ἐφ' ἡλικίας — λέγεται γὰρ αὐτοῦ παιδικὰ γενέσθαι — οὐδέν γε ἔδρασε κακὸν Σόλωνα. dubitandum est de Sosicrate apud Laertium I 49 τοῦ δὴ λοιποῦ προσεῖχεν [B] αὐτῷ ὁ δῆμος καὶ ἡδέως καὶ τυραννεῖσθαι ἤθελεν [B²] πρὸς αὐτοῦ, ὁ δ' οὐχ εἵλετο, ἀλλὰ καὶ Πεισίστρατον τὸν συγγενῆ, καθά φησι Σωσικράτης, προαισθόμενος ⟨adde τυραννησείοντα vel tale quid⟩ τὸ ἐφ' ἑαυτῷ διεκώλυσεν. ᾄξας γὰρ εἴς τινα ἐκκλησίαν μετὰ δόρατος καὶ ἀσπίδος προεῖπεν αὐτοῖς τὴν ἐπίθεσιν τοῦ Πεισιστράτου· καὶ οὐ μόνον ἀλλὰ καὶ βοηθεῖν ἕτοιμος εἶναι, λέγων ταῦτα· "ἄνδρες Ἀθηναῖοι, τῶν μὲν σοφώτερος, τῶν δὲ ἀνδρειότερός εἰμι· σοφώτερος μὲν τῶν τὴν ἀπάτην Πεισιστράτου μὴ συνιέντων, ἀνδρειότερος δὲ τῶν ἐπισταμένων μέν, διὰ δέος δὲ σιωπώντων".... (50) ἤδη δὲ αὐτοῦ κρατοῦντος οὐ πείθων ἔθηκε τὰ ὅπλα πρὸ τοῦ στρατηγείου καὶ εἰπὼν "ὦ πατρίς, βεβοήθηκά σοι καὶ λόγῳ καὶ ἔργῳ" ἀπέπλευσεν εἰς Αἴγυπτον καὶ εἰς Κύπρον κτλ. ex iisdem consuta est Solonis epistula apud La. Diog. I 65. aut Aristotele non usus est aut Aristoteleis aliena immiscuit Plutarchus in Sol. 30 Ἀρίστωνος δὲ γράψαντος, ὅπως δοθῶσι πεντήκοντα κορυνηφόροι τῷ Πεισιστράτῳ φυλακὴ τοῦ σώματος, ἀντεῖπεν ὁ Σόλων ἀναστὰς καὶ πολλὰ διεξῆλθεν ὅμοια τούτοις οἷς διὰ τῶν ποιημάτων γέγραφεν· "εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπη αἱμύλου ἀνδρός". "ὑμῶν δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει, σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος". ὁρῶν δὲ τοὺς μὲν πένητας ὡρμημένους χαρίζεσθαι τῷ Πεισιστράτῳ καὶ θορυβοῦντας, τοὺς δὲ πλουσίους ἀποδιδράσκοντας καὶ ἀποδειλιῶντας, ὅτι τῶν μέν ἐστι σοφώτερος, τῶν δὲ ἀνδρειότερος· σοφώτερος μὲν τῶν μὴ συνιέντων τὸ πραττόμενον, ἀνδρειότερος δὲ τῶν συνιέντων μέν, ἐναντιοῦσθαι δὲ τῇ τυραννίδι φοβουμένων..... γενομένου δὲ τούτου καὶ τῆς πόλεως συνταραχθείσης ὁ μὲν Μεγακλῆς εὐθὺς ἔφυγε μετὰ τῶν ἄλλων Ἀλκμαιωνιδῶν, ὁ δὲ Σόλων ἤδη μὲν ἦν σφόδρα γέρων καὶ τοὺς βοηθοῦντας οὐκ εἶχεν, ὅμως δὲ προῆλθεν εἰς ἀγορὰν καὶ διελέχθη πρὸς τοὺς πολίτας, τὰ μὲν κακίζων τὴν ἀβουλίαν αὐτῶν καὶ μαλακίαν, τὰ δὲ παροξύνων ἔτι καὶ παρακαλῶν μὴ προέσθαι τὴν ἐλευθερίαν .... οὐδενὸς δὲ προσέχοντος αὐτῷ διὰ τὸν φόβον ἀπῆλθεν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ καὶ λαβὼν τὰ ὅπλα καὶ πρὸ τῶν θυρῶν θέμενος εἰς τὸν στενωπὸν "ἐμοὶ μὲν" εἶπεν "ὡς δυνατὸν ἦν βεβοήθηται τῇ πατρίδι καὶ τοῖς νόμοις". Diod. IX 20,1 (Exc. Vat. p. 21) ὅτι Σόλων ὁ νομοθέτης παρελθὼν εἰς τὴν ἐκκλησίαν παρεκάλει τοὺς Ἀθηναίους καταλύειν τὸν τύραννον, πρὶν τελέως ἰσχυρὸν γενέσθαι. οὐδενὸς δὲ αὐτῷ προσέχοντος ἀναλαβὼν τὴν πανοπλίαν προῆλθεν εἰς τὴν ἀγορὰν γεγηρακὼς καὶ τοὺς θεοὺς ἐπιμαρτυρόμενος ἔφησε καὶ λόγῳ καὶ ἔργῳ τῇ πατρίδι κινδυνευούσῃ βεβοηθηκέναι τὸ κατ' αὐτὸν μέρος κτλ. ex Aristotele cogitari potest profectum esse eum qui hanc narratiunculam sibi finxit servatam a Plutarcho An seni sit gerenda respublica 21,5 (795 E) ὁ δὲ Σόλων τῆς Πεισιστράτου δημαγωγίας ὅτι τυραννίδος ἦν μηχάνημα φανερᾶς γενομένης μηδενὸς ἀμύνεσθαι μηδὲ κωλύειν τολμῶντος αὐτὸς ἐξενεγκάμενος τὰ ὅπλα καὶ πρὸ τῆς οἰκίας θέμενος ἠξίου βοηθεῖν τοὺς πολίτας· πέμψαντος δὲ τοῦ Πεισιστράτου πρὸς αὐτὸν καὶ πυνθανομένου τίνι πεποιθὼς ταῦτα πράττει, "τῷ γήρᾳ" εἶπεν. cf. Diod. IX 20,14 Vogel.

τυραν[νίδι], σοφώτερος εἶναι τούτων, ὅσοι δ' εἰδότες κατασιωπῶσιν, ἀνδρει- p. 5
ότερος. ἐπεὶ δὲ λέγων [οὐκ ἔ]πειθεν, ἐξαράμενος τὰ ὅπλα πρὸ τῶν θυρῶν
αὐτὸς μὲν ἔφη βεβοηθηκέναι τῇ πατρίδι καθ' ὅσον ἦν δυνατός (ἤδη γὰρ
σφόδρα πρεσβύτης ἦν), ἀξιοῦν δὲ καὶ τοὺς ἄλλους ταὐτὸ τοῦτο ποιεῖν.
Σόλων μὲν [οὖν ο]ὐδὲν ἤνυσεν τότε παρακαλῶν· Πεισίστρατος δὲ λαβὼν 3
τὴν ἀρχὴν διῴκει τὰ κοινὰ πολιτικῶς μᾶλλον ἢ τυραννικῶς. οὔπω δὲ τῆς
ἀρχῆς ἐρριζωμένης ὁμοφρονήσαντες οἱ περὶ τὸν Μεγακλέα καὶ τὸν Λυκοῦργον
ἐξέβαλον αὐτὸν ἕκτῳ ἔτει μετὰ τὴν πρώτην κατάστασιν ἐφ' Ἡγησίου ἄρχοντος.
ἔτει δὲ δωδεκάτῳ μετὰ ταῦτα περιελαυνόμενος ὁ Μεγακλῆς τῇ στάσει, 4
πάλιν ἐπικηρυκευσάμενος πρὸς τὸν Πεισίστρατον ἐφ' ᾧ τε τὴν θυγατέρα
αὐτοῦ λήψεται, κατήγαγεν αὐτὸν ἀρχαίως καὶ λίαν ἁπλῶς. προδιασπείρας
γὰρ λόγον ὡς τῆς Ἀθηνᾶς καταγούσης Πεισίστρατον, καὶ γυναῖκα μεγάλην
καὶ καλὴν ἐξευρών, ὡς μὲν Ἡρόδοτός φησιν, ἐκ τοῦ δήμου τῶν Παιανιέων,
ὡς δ' ἔνιοι λέγουσιν ἐκ τοῦ Κολλυτοῦ στεφανόπωλιν Θρᾷτταν, ᾗ ὄνομα Φύη,
τὴν θεὸν ἀπομιμησάμενος τῷ κόσμῳ συνεισήγαγεν μετ' αὐτοῦ· καὶ ὁ μὲν
Πεισίστρατος ἐφ' ἅρματος εἰσήλαυνε παραιβατούσης τῆς γυναικός, οἱ δ' ἐν
τῷ ἄστει προσκυνοῦντες ἐδέχοντο θαυμάζοντες.

XV. ἡ μὲν οὖν πρώτη κάθοδος ἐγένετο τοιαύτη. μετὰ δὲ ταῦτα ὡς 1
ἐξέπεσε τὸ δεύτερον ἔτει μάλιστα ἑβδόμῳ μετὰ τὴν κάθοδον, (οὐ γὰρ
πολὺν χρόνον κατέσχεν, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι τῇ τοῦ Μεγακλέους
θυγατρὶ συγγίγνεσθαι φοβηθεὶς ἀμφοτέρας τὰς στάσεις ὑπεξῆλθεν), καὶ 2
πρῶτον μὲν συνῴκισε περὶ τὸν Θερμαῖον κόλπον χωρίον ὃ καλεῖται Ῥαί-
κηλος, ἐκεῖθεν δὲ παρῆλθεν εἰς τοὺς περὶ Πάγγαιον τόπους, ὅθεν χρηματισά-
μενος καὶ στρατιώτας μισθωσάμενος ἐλθὼν εἰς Ἐρέτριαν ἑνδεκάτῳ πάλιν
ἔτει τό⟨τε⟩ πρῶτον ἀνασώσασθαι βίᾳ τὴν ἀρχὴν ἐπεχείρει, συμπροθυμου-
μένων αὐτῷ πολλῶν μὲν καὶ ἄλλων, μάλιστα δὲ Θηβαίων καὶ Λυγδάμιος
τοῦ Ναξίου, ἔτι δὲ τῶν ἱππέων τῶν ἐχόντων ἐν Ἐρετρίᾳ τὴν πολιτείαν. |
νικήσας δὲ τὴν ἐπὶ Παλληνίδι μάχην καὶ λαβὼν τὴν [π]όλιν καὶ παρελό- p. 6

1 κατασιωπωντες L 2 οὐκ ἔπειθεν Hicks, al. εξαιραμενος L 6 διωκει (fort. correctum) L 11 αρχαικως L*, ως suprascr. L¹ 13 φησιν] φ L 14 κολυτου L*, τ alteram (et fortasse alteram λ) suprascr. L¹ 18 ὡς κτλ.] structura et sententia corruptae 20 κατέσχεν] διακατεσχεν Bl., Wn. (K-W³), at non Δ habet L, sed signum γ, ad spatia vacua sub finibus versuum complenda in aliis codicibus papyraceis usitatum 21 συγγινεσθ(αι) L 22. 23 ρακηλος L*, corr. L¹ 25 τότε Bl., al.; το L ανασωσασθαι L 28 πόλιν Wn. (K-W³) recte ut vid.

6 Herod. I 60 μετὰ δὲ οὐ πολλὸν χρόνον τὠυτὸ φρονήσαντες οἵ τε τοῦ Μεγακλέος στασιῶται καὶ οἱ τοῦ Λυκούργου ἐξελαύνουσί μιν. οὕτω μὲν Πεισίστρατος ἔσχε τὸ πρῶτον Ἀθήνας, καὶ τὴν τυραννίδα οὔκω κάρτα ἐρριζωμένην ἔχων ἀπέβαλε ..... περιελαυνόμενος δὲ τῇ στάσει ὁ Μεγακλέης ἐπεκηρυκεύετο Πεισιστράτῳ, εἰ βούλοιτό οἱ τὴν θυγατέρα ἔχειν γυναῖκα ἐπὶ τῇ τυραννίδι, κ. τ. λ. .... ἐν τῷ δήμῳ τῷ Παιανιέϊ ἦν γυνὴ τῇ οὔνομα ἦν Φύη, κ. τ. λ.

28 Schol. Arist. Ach. 234 (R, Ald.) ὃ δὲ βούλεται εἰπεῖν, τοῦτό ἐστιν. ὁμοίως διακεῖσθαι καὶ τραχέως ἔχειν πρὸς τὸν σπεισάμενον Λακεδαιμονίοις ὡς πάλαι πρὸς Πεισίστρατον

μενος τοῦ δήμου τὰ ὅπλα κατεῖχεν ἤδη τὴν τυραννίδα βεβαίως· καὶ Νάξον 3
ἑλὼν ἄρχοντα κατέστησε Λύγδαμιν. παρείλετο δὲ τοῦ δήμου τὰ ὅπλα τόνδε 4
τὸν τρόπον. ἐξοπλασίαν ἐν τῷ Θησείῳ ποιησάμενος ἐκκλησιάζειν ἐπεχείρει,
καὶ [χρόνον προσηγό]ρευεν μικρόν· οὐ φασκόντων δὲ κατακούειν ἐκέλευσεν
αὐτοὺς προσαναβῆναι πρὸς τὸ πρόπυλον τῆς ἀκροπόλεως, ἵνα γεγωνῇ μᾶλλον.
ἐν ᾧ δ' ἐκεῖνος διέτριβε δημηγορῶν, ἀνελόντες οἱ ἐπὶ τούτῳ τεταγμένοι
τ[ὰ ὅπ]λα καὶ [κατα]κλείσαντες εἰς τὰ πλησίον οἰκήματα τοῦ Θησείου διεσή-
μηναν ἐλθόντες πρὸς τὸν Πεισίστρατον. ὁ δὲ ἐπεὶ τὸν ἄλλον λόγον 5
ἐπετέλεσεν, εἶπε καὶ περὶ τῶν ὅπλων τὸ γεγονὸς ὡς οὐ χρὴ θαυμάζειν
οὐδ' ἀθυμεῖν, ἀλλ' ἀπελθόντας ἐπὶ τῶν ἰδίων εἶναι, τῶν δὲ κοινῶν αὐ[τὸς]
ἐπ[ι]μελήσεσθαι πάντων.

XVI. ἡ μὲν οὖν Πεισιστράτου τυραννὶς ἐξ ἀρχῆς τε κατέστη τοῦτον 1
τὸν τρόπον καὶ μεταβολὰς ἔσχεν τοσαύτας. διῴκει δ' ὁ Πεισίστρατος, 2
ὥσπερ εἴρηται, τὰ περὶ τὴν πόλιν μετρίως καὶ μᾶλλον πολιτικῶς ἢ τυραν-
νικῶς· ἔν τε γὰρ τοῖς ἄλλοις φιλάνθρωπος ἦν καὶ πρᾶος καὶ τοῖς ἁμαρ-
τάνουσι συγγνωμονικός, καὶ δὴ καὶ τοῖς ἀ[πό]ροις προεδάνειζε χρήματα
πρὸς τὰς ἐργασίας, ὥστε διατρέφεσθαι γεωργοῦντας. τοῦτο δ' ἐποίει 3
δυοῖν χάριν, ἵνα μήτε ἐν τῷ ἄστει διατρίβωσιν ἀλλὰ διεσπαρμένοι κατὰ
τὴν χώραν, καὶ ὅπως εὐποροῦντες τῶν μετρίων καὶ πρὸς τοῖς ἰδίοις ὄντες
μήτ' ἐπιθυμῶσι μήτε σχολάζω[σι]ν ἐπιμελεῖσθαι τῶν κοινῶν. ἅμα δὲ 4
συνέβαινεν αὐτῷ καὶ τὰς προσόδους γίγνεσθαι μείζους ἐξεργαζομένης τῆς
χώρας· ἐπράττετο γὰρ ἀπὸ τῶν γιγνομένων δεκάτην. διὸ καὶ τοὺς κατὰ 5
δήμους κατεσκεύασε δικαστάς, καὶ αὐτὸς ἐξῄει πολλάκις εἰς τὴν χώραν
ἐπισκοπῶν καὶ διαλύων τοὺς διαφερομένους, ὅπως μὴ καταβαίνοντες εἰς τὸ

---

2 παρειλε L (non παρειλετο); hoc e coni. leg. Bl. propter rhythmos; est alibi mediae vocis, sed cf. p. 28,29 et p. 29,9 (ante corr.) 4 κ(αὶ) χρ(όνον) προσηγόρευεν] lectio valde incerta; litt. ultimae possunt etiam ασεν esse. δ' ἔστεγεν Wn., quod non credo κατακουειν plane L; διακούειν Wn., (K-W³) 6 διετρειβε L ανελθοντες L*, θ del. L¹ οἱ om. L*, suprascr. L¹ τουτ(ων) L, τούτῳ Rutherford, Bl., τοῦτο K-W. sequitur littera Δ in L, deleta 7 κατακλείσαντες] -κληισαντες L, sed cf. p. 23,1. 30,8. et Meisterhans³, pp. 36—38. παρακλήσαντες Wn., συγ- ego antea 9 ὡς οὐ χρὴ] haec legit Wn., fortasse recte 10. 11 αὐτὸς ἐπι- Bl., al. 13 διωκει L*, ι superscr. L¹ 15 τοις bis scriptum L*, corr. L¹ 21 γινεσθαι L εξεργαζομενος L*, corr. L¹ 23 εξηει L

τὸν τύραννον ἡνίκα συνεστήσαμεν ἐν Παλλήνῃ τὴν μάχην (hic desinit R). μέμνηται δὲ τούτου καὶ Ἀνδροτίων καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

2 cf. Polyaen. I 21,2 Πεισίστρατος Ἀθηναίων τὰ ὅπλα βουλόμενος παρελέσθαι παρήγγειλεν ἥκειν ἅπαντας εἰς τὸ Ἀνάκειον μετὰ τῶν ὅπλων. οἱ μὲν ἧκον, ὁ δὲ προῆλθε βουλόμενος δημηγορῆσαι καὶ σμικρᾷ τῇ φωνῇ λέγειν ἤρχετο. οἱ δὲ ἐξακούειν μὴ δυνάμενοι προελθεῖν αὐτὸν ἠξίωσαν εἰς τὸ προπύλαιον, ἵνα πάντες ἐξακούσειαν. ἐπεὶ δὲ ὁ μὲν ἡσυχῇ διελέγετο, οἱ δ' ἐντείναντες τὰς ἀκοὰς προσεῖχον, οἱ ἐπίκουροι προελθόντες ἀράμενοι τὰ ὅπλα κατήνεγκαν εἰς τὸ ἱερὸν τῆς Ἀγραύλου. Ἀθηναῖοι δὲ γυμνοὶ καταλειφθέντες τότε ᾔσθοντο τῆς Πεισιστράτου βραχυφωνίας ὅτι ἄρα ἦν τέχνασμα κατὰ τῶν ὅπλων.

ἄστυ παραμελῶσι τῶν ἔργων. τοιαύτης γάρ τινος ἐξόδου τῷ Πεισιστράτῳ 6
γιγνομένης συμβῆναί φασι τὰ περὶ τὸν ἐν τῷ [Ὑμ]ηττῷ γεωργοῦντα τὸ p.6
κληθὲν ὕστερον χωρίον ἀτελές. ἰδὼν γάρ τινα παντελῶ[ς π]έτρας σκάπτοντα
καὶ ἐργαζόμενον, διὰ τὸ θαυμάσαι τὸν παῖδα ἐκέλευσεν ἐρέσθαι τί γίγνεται
ἐκ τοῦ χωρίου· ὁ δ' 'ὅσα κακὰ καὶ ὀδύναι' ἔφη, 'καὶ τούτων τῶν κακῶν
καὶ τῶν ὀδυνῶν Πεισίστρατον δεῖ λαβεῖν τὴν δεκάτην'. ὁ μὲν οὖν ἄνθρωπος
ἀπεκρίνατο ἀγνοῶν, ὁ δὲ Πεισίστρατος ἡσθεὶς διὰ τὴν παρρησίαν καὶ τὴν
φιλερ[γ]ίαν ἀτελῆ πάντων ἐποίησεν αὐτόν. οὐδὲν δὲ τὸ πλῆθος οὐδ' 7
ἐν τοῖς ἄλλοις παρ⟨ην⟩ώχλε[ι] κατὰ τὴν ἀρχήν, ἀλλ' αἰεὶ παρεσκε[ύ]αζεν
εἰρήνην καὶ ἐτήρει τὴν ἡσυχίαν· διὸ καὶ πολλὰ κλέ[α ἐ]θρ[ύλλο]υν ὡς [ἡ]
Πεισιστράτου τυραννὶς ὁ ἐπὶ Κρόν[ου] βίος εἴη· συνέβη γὰρ ὕστερον
δια[δε]ξ[α]μένων τῶν υἱέων πολλῷ γενέσθαι τραχυτέραν τὴν ἀρχήν.
μέγιστον δὲ πάντων ἦ[ν] τῶν ε[ἰρη]μένων τὸ δημοτικὸν εἶναι τῷ ἤθει καὶ 8
φιλάνθρωπον. ἔν τε γὰρ τοῖς ἄλλο[ις] ἐβ[ούλ]ετο πάντα διοικεῖν κατὰ τοὺς
νόμους, οὐδεμίαν ἑαυτῷ πλεονεξίαν διδούς, [κ]αί [ποτ]ε προσκληθεὶς φόνου
δίκην εἰς Ἄρειον πάγον αὐτὸς μὲν ἀπήντησεν ὡς ἀπο[λο]γησόμενος, ὁ δὲ
προσκαλεσάμενος φοβηθεὶς ἔλιπεν. διὸ καὶ πολὺν χρόνον ἔμεινεν ⟨ἐν⟩ [τῇ 9
ἀρ]χ[ῇ] καὶ [ὅ]τ' ἐκπέσοι πάλιν ἀνελάμβανε ῥᾳδίως. ἐβούλοντο γὰρ καὶ
τῶν γνωρίμων καὶ τῶν δημοτικῶν οἱ πολλοί· τοὺς μὲν γὰρ ταῖς ὁμιλίαις
τοὺς δὲ ταῖς εἰς τὰ ἴδια βοηθείαις προσ[ή]γετο, καὶ πρὸς ἀμφοτέρους ἐπε-
φύκει καλῶς. ἦσαν δὲ καὶ τοῖς Ἀθηναίοις οἱ περὶ τῶν τυράννων νόμοι 10
πρᾷοι κατ' ἐκείνους τοὺς καιροὺς οἵ τ' ἄλλοι καὶ δὴ καὶ ὁ μάλιστα καθήκων
πρὸς τὴν τῆς τυραννίδος ⟨κατάστασιν⟩. νόμος γὰρ αὐτοῖς ἦν ὅδε· 'θέσμια
τάδε Ἀθηναίων ἐστὶ καὶ πάτρια· ἐάν τινες τυραννεῖν ἐπανιστῶνται [ἐπὶ
τυραννίδι] ἢ συγκαθιστῇ τὴν τυραννίδα, ἄτιμον εἶναι καὶ αὐτὸν καὶ γένος'.

XVII. Πεισίστρατος μὲν οὖν ἐγκατεγήρασε τῇ ἀρχῇ καὶ ἀπέθανε 1
νοσήσας ἐπὶ Φιλόνεω ἄρχοντος, ἀφ' οὗ μὲν κατέστη τὸ πρῶτον τύραννος
ἔτη τριάκοντα καὶ τρία βιώσας, ἃ δ' ἐν τῇ ἀρχῇ διέμεινεν ἑνὸς δέοντα
εἴκοσι· ἔφευγε γὰρ τὰ λοιπά. διὸ καὶ φανερῶς ληροῦσιν ⟨οἱ⟩ φάσκοντες | 2

---

2 post συμβῆναι habet π' (= προς) L*, corr. inter scribendum L¹ τα aut τι L, vix το (H-L, Bl., K-W) υμμητωι ut vid. L 4 εκελευεν L, corr. Fränkel 7 παρησιαν L 9 παρηνώχλει J. B. Mayor, al.; παρωχλει L 10 κλέα ἐθρύλλουν] lectio non certa, sed vestigiis satis apta 12 διαδεξαμένων E. Bruhn, recte ut vid. 13 ἦν τῶν εἰρημένων legit et suppl. Wn. 14 ἐβούλετο Bl., Wn. 17. 18 ἐν τῇ ἀρχῇ Bl., K-W, al. 18 ἀνελάμβανε Richards, K-W, al.; επελαμβανε L; ἀπελ- Wyse, al. 23 κατάστασιν om. L, suppl. dubitanter K-W 24 ἐστὶ καὶ] ita (⁄ κ') L, ut vid.; καὶ solum leg. Bl. et Wn.; κατὰ τὰ K-W 26 ενκατεγηρασε L 29 εφυγεν L, ut vid., corr. J. B. Mayor, al. ληρουσι L; οἱ add. K-W, H-L, al.

---

15 Arist. Pol. E 12. 1315b21 φασὶ δὲ καὶ Πεισίστρατον ὑπομεῖναί ποτε προσκληθέντα δίκην εἰς Ἄρειον πάγον.

26 Arist. Pol. E 12. 1315b29 τρίτη δ' ἡ τῶν Πεισιστρατιδῶν Ἀθήνησιν, οὐκ ἐγένετο δὲ συνεχής. δὶς γὰρ ἔφυγε Πεισίστρατος τυραννῶν, ὥστ' ἐν ἔτεσι τριάκοντα καὶ τρισὶν ἑπτακαίδεκα ἔτη τούτων ἐτυράννευσεν, ὀκτωκαίδεκα δὲ οἱ παῖδες, ὥστε τὰ πάντα ἐγένετο ἔτη τριάκοντα καὶ πέντε.

ἐρώμενον εἶναι Πεισίστρα[τον] Σόλωνος καὶ στρατηγεῖν ἐν τῷ πρὸς Μεγα- p. 7
ρέας πολέμῳ περὶ Σαλαμῖνος· οὐ γὰρ ἐνδέχεται ταῖς ἡλικίαις, ἐάν τις ἀνα-
λογίζηται τὸν ἑκατέρου βίον καὶ ἐφ' οὗ ἀπέθανεν ἄρχοντος. τελευτή- 3
σαντος δὲ Πεισιστράτου κατεῖχον οἱ υἱεῖς τὴν ἀρχήν, προάγοντες τὰ πρά-
γματα τὸν αὐτὸν τρόπον. ἦσαν δὲ δύο μὲν ἐκ τῆς γαμετῆς, Ἱππίας καὶ
Ἵππαρχος, δύο δ' ἐκ τῆς Ἀργείας, Ἰοφῶν καὶ Ἡγησίστρατος, ᾧ παρωνύμιον
ἦν Θέτταλος. ἔγημεν γὰρ Πεισίστρατος ἐξ Ἄργους ἀνδρὸς Ἀργείου 4
θυγατέρα, ᾧ ὄνομα ἦν Γοργίλος, Τιμώνασσαν, ἣν πρότερον ἔσχεν γυναῖκα
Ἀρχῖνος ὁ Ἀμπρακιώτης τῶν Κυψελιδῶν· ὅθεν καὶ ἡ πρὸς τοὺς Ἀργείους
ἐνέστη φιλία, καὶ συνεμαχέσαντο χίλιοι τὴν ἐπὶ Παλληνίδι μάχην Ἡγησι-
στράτου κομίσαντος. γῆμαι δέ φασι τὴν Ἀργείαν οἱ μὲν ἐκπεσόντα τὸ πρῶ-
τον, οἱ δὲ κατέχοντα τὴν ἀρχήν.

XVIII. ἦσαν δὲ κύριοι μὲν τῶν πραγμάτων διὰ τὰ ἀξιώματα καὶ διὰ
τὰς ἡλικίας Ἵππαρχος καὶ Ἱππίας, πρεσβύτερος δὲ ὢν ὁ Ἱππίας καὶ τῇ
φύσει πολιτικὸς καὶ ἔμφρων ἐπεστάτει τῆς ἀρχῆς. ὁ δὲ Ἵππαρχος παιδιώδης
καὶ ἐρωτικὸς καὶ φιλόμουσος ἦν (καὶ τοὺς περὶ Ἀνακρέοντα καὶ Σιμωνίδην
καὶ τοὺς ἄλλους ποιητὰς οὗτος ἦν ὁ μεταπεμπόμενος), Θέτταλος δὲ νεώτερος 2
πολὺ καὶ τῷ βίῳ θρασὺς καὶ ὑβριστής, ἀφ' οὗ καὶ συνέβη τὴν ἀρχὴν
αὐτοῖς γενέσθαι πάντων τῶν κακῶν. ἐρασθεὶς γὰρ τοῦ Ἁρμοδίου καὶ δια-
μαρτάνων τῆς πρὸς αὐτὸν φιλίας οὐ κατεῖχε τὴν ὀργήν, ἀλλ' ἔν τε τοῖς
ἄλλοις ἐνεσημαίνετο πικρῶς καὶ τὸ τελευταῖον μέλλουσαν αὐτοῦ τὴν ἀδελφὴν
κανηφορεῖν Παναθηναίοις ἐκώλυσεν λοιδορήσας τι τὸν Ἁρμόδιον ὡς μαλακὸν
ὄντα, ὅθεν συνέβη παροξυνθέντα τὸν Ἁρμόδιον καὶ τὸν Ἀριστογείτονα πράττειν
τὴν πρᾶξιν μετεχόντων πολλῶν. ἤδη δὲ παρατηροῦντες ἐν ἀκροπόλει 3
τοῖς Παναθηναίοις Ἱππίαν (ἐτύγχανεν γὰρ οὗτος μὲν [δ]εχόμενος, ὁ δ'
Ἵππαρχος ἀποστέλλων τὴν πομπήν), ἰδόντες τινὰ τῶν κοινωνούντων τῆς
πρά[ξ]εως φιλανθρώπως ἐντυγχάνοντα τῷ Ἱππίᾳ καὶ νομίσαντες μηνύειν,
βουλόμενοί τι δρᾶσαι πρὸ τῆς συλλήψεως, καταβάντες καὶ προεξαναστάντες

---

2 σαλαμεινος L 4 προαγαγοντες L, corr. Bl., al. 8 ονο^μ (i. e. ὄνομα) L, ὄνομ' Bl., K-W 13 μὲν τῶν] τ(ων) μ(εν) L, corr. Bl., al.

---

7 Plut. Cat. mai. 24 ταύτην δὲ τὴν γνώμην πρότερον εἰπεῖν φασι Πεισίστρατον τὸν Ἀθηναίων τύραννον ἐπιγήμαντα τοῖς ἐνηλίκοις παισὶ τὴν Ἀργολίδα Τιμώνασσαν, ἐξ ἧς Ἰοφῶντα καὶ Θεσσαλὸν αὐτῷ λέγουσι γενέσθαι.

24 sqq. Thuc. VI 56 ἦσαν δὲ οὐ πολλοὶ οἱ ξυνομωμοκότες, ἀσφαλείας ἕνεκα. ib. 57 καὶ ὡς ἐπῆλθεν ἡ ἑορτή, Ἱππίας μὲν ἔξω ἐν τῷ Κεραμεικῷ καλουμένῳ μετὰ τῶν δορυφόρων διεκόσμει, ὡς ἕκαστα ἐχρῆν τῆς πομπῆς προϊέναι. I 20 ὑποτοπήσαντες δέ τι ἐκείνῃ τῇ ἡμέρᾳ καὶ παραχρῆμα Ἁρμόδιος καὶ Ἀριστογείτων ἐκ τῶν ξυνειδότων σφίσιν Ἱππίᾳ μεμηνῦσθαι, τοῦ μὲν ἀπέσχοντο ὡς προειδότος, βουλόμενοι δὲ πρὶν ξυλληφθῆναι δράσαντές τι καὶ κινδυνεῦσαι, τῷ Ἱππάρχῳ περιτυχόντες περὶ τὸ Λεωκόριον καλούμενον τὴν Παναθηναϊκὴν πομπὴν διακοσμοῦντι ἀπέκτειναν. VI 57 τὸν λυπήσαντα οὖν σφᾶς, καὶ δι' ὅνπερ πάντα ἐκινδύνευον, ἐβούλοντο πρότερον, εἰ δύναιντο, προτιμωρήσασθαι, καὶ ὥσπερ εἶχον ὥρμησαν εἴσω τῶν πυλῶν, καὶ περιέτυχον τῷ Ἱππάρχῳ παρὰ τὸ Λεωκόριον καλούμενον, εὐθὺς δ' . . . ἔτυπτον καὶ ἀποκτείνουσιν αὐτόν. ib. 58 ἀγγελθέντος δὲ Ἱππίᾳ ἐς τὸν Κεραμεικὸν . . ἐπὶ τοὺς πομπέας τοὺς ὁπλίτας . . .

τῶν [ἄλλω]ν τὸν μὲν Ἵππαρχον διακοσμοῦντα τὴν πομπὴν παρὰ τὸ Λεωκό- p.7
ρειον ἀπέκτειναν, τὴν δ' ὅλην ἐλυμήναντο πρᾶξιν. αὐτῶν δ' ὁ μὲν 4
Ἁρμόδιος εὐθέως ἐτελεύτησεν ὑπὸ τῶν δορ[υ]φόρων, ὁ δ' Ἀριστογείτων
ὕστερον συλληφθεὶς καὶ πολὺν χρόνον αἰκισθείς. κατηγόρησεν δ' ἐν ταῖς
ἀνάγκαις πολλῶν οἳ καὶ τῇ φύσει τῶν ἐπιφανῶν καὶ φίλοι τοῖς τυράννοις
ἦσαν. οὐ γὰρ ἐδύναντο παραχρῆμα λαβεῖν οὐδὲν ἴχνος τῆς πράξεως, ἀλλ'
ὁ λεγόμενος λόγος ὡς ὁ Ἱππίας ἀποστήσας ἀπὸ τῶν ὅπλων τοὺς πομπεύον-
τας ἐφώρασε τοὺς τὰ ἐγχειρίδια ἔχοντας οὐκ ἀληθής ἐστιν· οὐ γὰρ ἔπεμπον
τό⟨τε⟩ μεθ' ὅπλων, ἀλλ' ὕστερον τοῦτο κατεσκεύασεν ὁ δῆμος. κατηγόρει 5
δὲ τῶν τοῦ τυράννου φίλων, ὡς μὲν οἱ δημοτικοί φασιν, ἐπίτηδες, ἵνα
ἀσεβήσαιεν ἅμα καὶ γένοιντο ἀσθενεῖς ἀνελόντες τοὺς ἀναιτίους καὶ φίλους
ἑαυτῶν, ὡς δ' ἔνιοι λέγουσιν, οὐχὶ πλαττόμενος ἀλλὰ τοὺς συνειδότας
ἐμήνυεν. καὶ τέλος ὡς οὐκ ἐδύνατο πάντα ποιῶν ἀποθανεῖν, ἐπαγγειλά- 6
μενος ὡς ἄλλους μηνύσων πολλοὺς καὶ πείσας αὐτῷ τὸν Ἱππίαν δοῦναι
τὴν δεξιὰν πίστεως χάριν, ὡς ἔλαβεν, ὀνειδίσας ὅτι τῷ φονεῖ τἀδελφοῦ
τὴν δεξιὰν δέδωκε οὕτω παρώξυνε τὸν Ἱππίαν ὥσθ' ὑπὸ τῆς ὀργῆς οὐ
κατέσχεν ἑαυτὸν ἀλλὰ σπασάμενος τὴν μάχαιραν διέφθειρεν αὐτόν.

XIX. μετὰ δὲ ταῦτα συνέβαινεν πολλῷ τραχυτέραν εἶναι τὴν τυραννίδα· 1
καὶ γὰρ διὰ τὸ τιμωρεῖν τἀδελφῷ καὶ διὰ τὸ πολλοὺς ἀνῃρηκέναι καὶ ἐκβε-
βληκέναι πᾶσιν ἦν ἄπιστος καὶ πικρός. ἔτει δὲ τετάρτῳ μάλιστα μετὰ 2
τὸν Ἱππάρχου θάνατον, ἐπεὶ κακῶς εἶχεν τὰ ἐν τῷ ἄστει, τὴν Μουνιχίαν
ἐπεχείρησε τειχίζειν, ὡς ἐκεῖ μεθιδρυσόμενος· ἐν τούτοις δ' ὢν ἐξέπεσεν
ὑπὸ Κλεομένους τοῦ Λακεδαιμονίων βασιλέως, χρησμῶν γιγνομένων ἀεὶ
τοῖς Λάκωσι καταλύειν τὴν τυραννίδα διὰ τοιάνδ' αἰτίαν. οἱ φυγάδες, 3
ὧν οἱ Ἀλκμεωνίδαι προειστήκεσαν, αὐτοὶ μὲν δι' αὑτῶν οὐκ ἐδύναντο ποιή-

1 ἄλλων] lectio incerta; ισρων Wn., [ἑτέ]ρων K-W[3], sed spatium magis 5 quam 6 litteris idoneum est; σ(υν)ωμοτ(ῶν) Diels 8 αληθες L 9 τότε Rutherford, al. κατεσκευασεδημος L*, νο suprascr. L[1] 11 αμα suprascr. L[1] ασθενεις suprascr. L[1] (ανελοντες α L*, α postea deletum) 13 ηδυνατο L, corr. H-L (v. Meisterhans [3], p. 169) 15 post οτι, ταδελ scripsit L*, sed corr. inter scribendum 20 απιστος κ(αι) πιστ⁰ L 21 εν κακωι L*, corr. L[1] τωι suprascr. L[1] μουνυχιαν L 23 ˌγινομ(εν)ων L 25 ηδυναντο L, corr. H-L

εὐθὺς ἐχώρησε καὶ . . . ἐκέλευσεν αὐτούς, δείξας τι χωρίον, ἀπελθεῖν ἐς αὐτὸ ἄνευ τῶν ὅπλων. καὶ οἱ μὲν ἀπεχώρησαν, οἰόμενοί τι ἐρεῖν αὐτόν· ὁ δὲ τοῖς ἐπικούροις φράσας τὰ ὅπλα ὑπολαβεῖν, ἐξελέγετο εὐθὺς οὓς ἐπῃτιᾶτο καὶ εἴ τις εὑρέθη ἐγχειρίδιον ἔχων· μετὰ γὰρ ἀσπίδος καὶ δόρατος εἰώθεσαν τὰς πομπὰς ποιεῖν.

24 Herod. V 62 Ἱππίεω τυραννεύοντος καὶ ἐμπικραινομένου Ἀθηναίοισι διὰ τὸν Ἱππάρχου θάνατον, Ἀλκμαιωνίδαι, γένος ἐόντες Ἀθηναῖοι καὶ φεύγοντες Πεισιστρατίδας, ἐπεί τέ σφι ἅμα τοῖσι ἄλλοισι Ἀθηναίων φυγάσι πειρωμένοισι κατὰ τὸ ἰσχυρὸν οὐ προεχώρεε κάτοδος, ἀλλὰ προσέπταιον μεγάλως πειρώμενοι κατιέναι τε καὶ ἐλευθεροῦν τὰς Ἀθήνας, Λειψύδριον τὸ ὑπὲρ Παιονίης τειχίσαντες.

25 Schol. Ar. Lys. 665 (L; exscr. Suid. Λυκοπόδες) ὁ δὲ Ἀριστοφάνης ἔφη νῦν τοὺς (τοὺς νῦν L, τοὺς Suid., corr. Wilamowitz) Ἀλκμαιωνίδας· οὗτοι γὰρ πόλεμον ἀράμενοι πρὸς Ἱππίαν τὸν τύραννον καὶ τοὺς Πεισιστρατίδας ἐτείχισαν Λειψύδριον (λειψύδριον Suid., om. L). cf. Hesych. Phot. Λυκόποδας. — Schol. Ar. Lys. 666 (RL, exscr. Suidas l. l.) Λειψύ-

σασθαι τὴν κάθοδον, ἀλλ᾽ αἰεὶ προσέπταιον· | ἔν τε γὰρ τοῖς ἄλλοις οἷς p. 8 ἔπραττον διεσφάλλοντο καὶ τειχίσαντες ἐν τῇ χώρᾳ Λειψύδριον τὸ ὑπὲρ Πάρνηθος, εἰς ὃ συνεξῆλθόν τινες τῶν ἐκ τοῦ ἄστεως, ἐξεπολιορκήθησαν ὑπὸ τῶν τυράννων, ὅθεν ὕστερον μετὰ ταύτην τὴν συμφορὰν ᾖδον ἐν τοῖς σκολιοῖς αἰεί·

αἰαῖ Λειψύδριον προδωσέταιρον,
οἵους ἄνδρας ἀπώλεσας μάχεσθαι
ἀγαθούς τε καὶ εὐπατρίδας,
οἳ τότ᾽ ἔδειξαν οἵων πατέρων ἔσαν.

ἀποτυγχάνοντες οὖν ἐν ἅπασι τοῖς ἄλλοις ἐμισθώσαντο τὸν ἐν Δελφοῖς νεὼν 4 οἰκοδομεῖν, ὅθεν εὐπόρησαν χρημάτων πρὸς τὴν τῶν Λακώνων βοήθειαν. ἡ δὲ Πυθία προέφερεν αἰεὶ τοῖς Λακεδαιμονίοις χρηστηριαζομένοις ἐλευθεροῦν τὰς Ἀθήνας εἰς τοῦθ᾽ ἕως προύτρεψε τοὺς Σπαρτιάτας, καίπερ ὄντων ξένων αὐτοῖς τῶν Πεισιστρατιδῶν· συνεβάλλετο δὲ οὐκ ἐλάττω μοῖραν τῆς ὁρμῆς τοῖς Λάκωσιν ἡ πρὸς τοὺς Ἀργείους τοῖς Πεισιστρατίδαις ὑπάρχουσα φιλία. τὸ μὲν οὖν πρῶτον Ἀγχίμολον ἀπέστειλαν κατὰ θάλατταν ἔχοντα στρατιάν. 5 ἡττηθέντος δ᾽ αὐτοῦ καὶ τελευτήσαντος διὰ τὸ Κινέαν βοηθῆσαι τὸν Θετταλὸν ἔχοντα χιλίους ἱππεῖς, προσοργισθέντες τῷ γενομένῳ Κλεομένην ἐξέπεμψαν τὸν βασιλέα στόλον ἔχοντα μείζω κατὰ γῆν, ὃς ἐπεὶ τοὺς τῶν Θετταλῶν

---

2 λιψυδριον L (item in l. 6) 4 μετὰ] εἰς K-W, Bl., ex Etym. Mag. (σκόλιον εἰς αὐτοὺς ᾖδετο); cf. infra, p. 24,6 5 αἰεί del. Hude, K-W, H-L, S 9 οἳ] αι legit Wn., male formata est littera 13 εις τουτ ευθεως L; εἰς τοῦθ᾽ ἕως Bl. (K-W, H-L, S); cf. schol. Ar. Lys. 1150 17 θεσσαλον L 18 χειλιους L 19 θεσσαλων L

δριον] χωρίον τῆς Ἀττικῆς ὑπὲρ Πάρνηθος (τὸ ὑ. Π. Suid.; τὸ ὑπεράνω Πάρνηθος L, περὶ τὴν Πάρνηθον omisso τὸ R) ἐς ὃ συνῆλθόν τινες τῶν (τῶν Suid., om. RL) ἐκ τοῦ ἄστεως, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. — Et. gen. (inde Symeo et Et. M. 361,31) i. e. Phot. = Suid. ἐπὶ Λειψυδρίῳ μάχη: χωρίον ὑπὲρ τῆς Πάρνηθος, ὃ ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων, ὧν (sic Symeo; οὗ Et. gen., Et. M.; om. Suid.) οἱ Ἀλκμαιωνίδαι προεστήκεσαν. ἐκπολιορκηθέντων δ᾽ αὐτῶν ὑπὸ τῶν περὶ Πεισίστρατον σκολιὸν εἰς αὐτοὺς ᾖδετο· "αἶ αἶ Λειψύδριον (sic Sym. et Suid., Λυψύδριον Et. gen., Et. M.) προδωσέταιρον, οἵους ἄνδρας ἀπώλεσας μάχεσθαι (δ᾽ hic add. Suid.) ἀγαθούς τε καὶ εὐπατρίδας ὁπότ᾽ ἔδειξαν οἵων πατέρων ἔσαν (sic Suid., ἔασαν Et.)".

10 Schol. Ar. Lys. 1150 (R) Ἀριστοτέλης φησὶ μετὰ τὸν Ἱππάρχου θάνατον χρησμὸν γενέσθαι τοῖς Λάκωσιν καταλύειν τὴν τυραννίδα, τῆς Πυθίας, ὡς οἱ Ἀλκμαιωνίδαι ἐμισθώσαντο τὸν ἐν Δελφοῖς νεὼν οἰκοδομεῖν, συνεχῶς τοῦτο χρώσης αὐτοῖς μαντευομένοις, ἕως πρότερον μὲν Ἀγχίμολον ἔπεμψαν κατὰ θάλασσαν, ἀποκρουσθέντος δ᾽ αὐτοῦ ὀργισθέντες οἱ Λάκωνες Κλεομένη τὸν βασιλέα σὺν μείζονι ἐξέπεμψαν στόλῳ, καὶ νικήσας τοὺς Θετταλοὺς εἰσῆλθεν εἰς τὴν Ἀττικὴν καὶ τὸν Ἱππίαν συνέκλεισεν εἰς τὸ Πελαργικὸν τεῖχος, ἕως οἱ παῖδες τῶν τυράννων ἐξιόντες ἑάλωσαν.

16 Herod. V 63 Λακεδαιμόνιοι δὲ ὥς σφι αἰεὶ τωὐτὸ πρόφαντον ἐγίνετο πέμπουσι Ἀγχιμόλιον τὸν Ἀστέρος .... πέμπουσι δὲ τούτους κατὰ θάλασσαν πλοίοισι ... Θεσσαλοὶ δέ σφι δεομένοισι ἀπέπεμψαν ... χιλίην τε ἵππον καὶ τὸν βασιλέα τὸν σφέτερον Κινέην ..... ib. 64: μετὰ δὲ Λακεδαιμόνιοι μέζω στόλον στείλαντες ἀπέπεμψαν ἐπὶ τὰς Ἀθήνας, στρατηγὸν τῆς στρατιῆς ἀποδέξαντες βασιλέα Κλεομένεα τὸν Ἀναξανδρίδεω, οὐκέτι κατὰ θάλασσαν στείλαντες ἀλλὰ κατ᾽ ἤπειρον.

ἱππεῖς ἐνίκησεν κωλύοντας αὐτὸν εἰς τὴν Ἀττικὴν παριέναι, κατακλείσας p.8
τὸν Ἱππίαν εἰς τὸ καλούμενον Πελαργικὸν τεῖχος ἐπολιόρκει μετὰ τῶν
Ἀθηναίων. προσκαθημένου δ' αὐτοῦ συνέπεσεν ὑπεξιόντας ἁλῶναι τοὺς 6
τῶν Πεισιστρατιδῶν υἱεῖς· ὧν ληφθέντων ὁμολογίαν ἐπὶ τῇ τῶν παίδων
σωτηρίᾳ ποιησάμενοι καὶ τὰ ἑαυτῶν ἐν πένθ' ἡμέραις ἐκκομισάμενοι παρέδωκαν τὴν ἀκρόπολιν τοῖς Ἀθηναίοις ἐπὶ Ἁρπακτίδου ἄρχοντος, κατασχόντες τὴν τυραννίδα μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἔτη μάλιστα ἑπτακαίδεκα, τὰ δὲ σύμπαντα σὺν οἷς ὁ πατὴρ ἦρξεν ἑνὸς δεῖ πεντήκοντα.

XX. καταλυθείσης δὲ τῆς τυραννίδος ἐστασίαζον πρὸς ἀλλήλους Ἰσα- 1
γόρας ὁ Τεισάνδρου φίλος ὢν τῶν τυράννων καὶ Κλεισθένης τοῦ γένους ὢν τῶν Ἀλκμεωνιδῶν. ἡττώμενος δὲ ταῖς ἑταιρείαις ὁ Κλεισθένης προσηγάγετο τὸν δῆμον, ἀποδιδοὺς τῷ πλήθει τὴν πολιτείαν. ὁ δὲ Ἰσαγόρας 2
ἐπιλειπόμενος τῇ δυνάμει πάλιν ἐπικαλεσάμενος τὸν Κλεομένην, ὄντα ἑαυτῷ ξένον, συνέπεισεν ἐλαύνειν τὸ ἄγος, διὰ τὸ τοὺς Ἀλκμεωνίδας δοκεῖν εἶναι
τῶν ἐναγῶν. ὑπεξελθόντος δὲ τοῦ Κλεισθένους ⟨ἀφικόμενος ὁ Κλεομένης⟩ 3
μετ' ὀλίγων ἠγηλάτει τῶν Ἀθηναίων ἑπτακοσίας οἰκίας· ταῦτα δὲ διαπραξάμενος τὴν μὲν βουλὴν ἐπειρᾶτο καταλύειν, Ἰσαγόραν δὲ καὶ τριακοσίους τῶν φίλων μετ' αὐτοῦ κυρίους καθιστάναι τῆς πόλεως. τῆς δὲ βουλῆς ἀντιστάσης καὶ συναθροισθέντος τοῦ πλήθους οἱ μὲν περὶ τὸν Κλεομένην καὶ Ἰσαγόραν κατέφυγον εἰς τὴν ἀκρόπολιν, ὁ δὲ δῆμος δύο μὲν ἡμέρας προσκαθεζόμενος ἐπολιόρκει, τῇ δὲ τρίτῃ Κλεομένην μὲν καὶ τοὺς μετ'

---

1 κατακλείσας] κατακλήσας K-W, H-L, Bl.; cf. ad p. 18,7 3 επεξιοντας L, corr. Wyse, al. 4 πισιστρατιδων L 6 αρπακιδου (littera π ante αρ deleta) L; τ suprascr. L[1] 8 δεῖ (quod etiam in Rhet. B 13 habet MS. Par. 1741) retinendum esse videtur hic et in p. 30,7 (Bl., K-W[3]); δεῖν J. E. B. Mayor, S. 9 καταλυθείσης] ante versum qui hoc verbo incipit coronis in margine depicta est 10 τισανδρου L φιλ(ος) om. L*, add. in marg. L[1]? 11 αλκμεονιδων L ηττημ(εν)ος L, corr. Bl. sec. Herod. V. 66, al. 14 ελαυνειν super rasuram (ελ—, fortasse ελαυνειν male scriptum) L[1] 15 ἀφικόμενος ὁ Κλεομένης inserunt K-W (Bl.) ex Herod. V 70 18 μετ' αὐτοῦ] μ(ετα)του L

---

8 Schol. Ar. Vesp. (V) 500 ἐδόκει δὲ ἡ τυραννὶς καταστῆναι, ὥς φησιν Ἐρατοσθένης, ἐπὶ ἔτη ν̄, τοῦ ἀκριβοῦς διαμαρτάνων, Ἀριστοτέλους (sic Bentley, Ἀριστοφάνους libri) μὲν τετταράκοντα καὶ ἓν [l. ἐννέα] φήσαντος, Ἡροδότου δὲ ἓξ καὶ τριάκοντα.

10 sqq. Herod. V 66 οὗτοι οἱ ἄνδρες ἐστασίασαν περὶ δυνάμιος· ἑσσούμενος δὲ ὁ Κλεισθένης τὸν δῆμον προσεταιρίζεται. ib. 70 ἐν τῷ μέρει δὲ ἑσσούμενος ὁ Ἰσαγόρης ἀντιτεχνᾶται τάδε· ἐπικαλέεται Κλεομένεα τὸν Λακεδαιμόνιον, γενόμενον ἑωυτῷ ξεῖνον ... τὰ μὲν δὴ πρῶτα πέμπων ὁ Κλεομένης ἐς τὰς Ἀθήνας κήρυκα ἐξέβαλλε Κλεισθένεα, καὶ μετ' αὐτοῦ ἄλλους πολλοὺς Ἀθηναίων τοὺς ἐναγέας ἐπιλέγων ... ib. 72 Κλεομένης δὲ ὡς πέμπων ἐξέβαλλε Κλεισθένεα καὶ τοὺς ἐναγέας, Κλεισθένης μὲν αὐτὸς ὑπέξεσχε· μετὰ δὲ οὐδὲν ἧσσον παρῆν ἐς τὰς Ἀθήνας ὁ Κλεομένης οὐ σὺν μεγάλῃ χειρί, ἀπικόμενος δὲ ἀγηλατέει ἑπτακόσια ἐπίστια Ἀθηναίων, τά οἱ ὑπέθετο ὁ Ἰσαγόρης· ταῦτα δὲ ποιήσας, δεύτερα τὴν βουλὴν καταλύειν ἐπειρᾶτο, τριηκοσίοισι δὲ τοῖσι Ἰσαγόρεω στασιώτῃσι τὰς ἀρχὰς ἐνεχείριζε. ἀντισταθείσης δὲ τῆς βουλῆς καὶ οὐ βουλομένης πείθεσθαι, ὅ τε Κλεομένης καὶ ὁ Ἰσαγόρης καὶ οἱ στασιῶται αὐτοῦ καταλαμβάνουσι τὴν ἀκρόπολιν, Ἀθηναίων δὲ οἱ λοιποὶ τὰ αὐτὰ φρονήσαντες ἐπολιόρκεον αὐτοὺς ἡμέρας δύο, τῇ δὲ τρίτῃ ὑπόσπονδοι ἐξέρχονται ἐκ τῆς χώρης ὅσοι ἦσαν αὐτῶν Λακεδαιμόνιοι.

αὐτοῦ πάντας ἀφεῖσαν ὑποσπόνδους, Κλεισθένη δὲ καὶ τοὺς ἄλλους φυγάδας p. 8
μετεπέμψαντο. κατασχόντος δὲ τοῦ δήμου τὰ πράγματα Κλεισθένης 4
ἡγεμὼν ἦν καὶ τοῦ δήμου προστάτης. αἰτιώτατοι γὰρ σχεδὸν ἐγένοντο
τῆς ἐκβολῆς τῶν τυράννων οἱ Ἀλκμεωνίδαι καὶ στασιάζοντες τὰ πολλὰ
διετέλεσαν. ἔτι δὲ πρότερον τῶν Ἀλκμεωνιδῶν Κήδων ἐπέθετο τοῖς 5
τυράννοις, διὸ καὶ ᾖδον καὶ εἰς τοῦτον ἐν τοῖς σκολιοῖς·

ἔγχει καὶ Κήδωνι, διάκονε, μηδ' ἐπιλήθου,
εἰ χρὴ τοῖς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.

XXI. διὰ μὲν οὖν ταύτας τὰς αἰτίας ἐπίστευεν ὁ δῆμος τῷ Κλεισθένει. 1
τότε δὲ τοῦ πλήθους προεστηκὼς ἔτει τετάρτῳ μετὰ τὴν τῶν τυράννων
κατάλυσιν ἐπὶ Ἰσαγόρου ἄρχοντος, πρῶτον μὲν οὖν συνένειμε πάντας εἰς 2
δέκα φυλὰς ἀντὶ τῶν τεττάρων, ἀναμεῖξαι βουλόμενος, ὅπως μετάσχωσι
πλείους τῆς πολιτείας· ὅθεν ἐλέχθη καὶ τὸ μὴ φυλοκρινεῖν | πρὸς τοὺς p. 9
ἐξετάζειν τὰ γένη βουλομένους. ἔπειτα τὴν βουλὴν πενταχοσίο[υ]ς ἀντὶ 3
τετρακοσίων κατέστησεν, πεντήκοντα ἐξ ἑκάστης φυλῆς· τότε δ' ἦσαν
ἑκατόν. διὰ τοῦτο δὲ οὐκ εἰς δώδεκα φυλὰς συνέταξεν, ὅπω[ς] αὐτῷ μὴ
συμβαίνῃ μερίζειν κατὰ τὰς προϋπαρχούσας τριττῦς· ἦσαν γὰρ ἐκ δ̄ φυλῶν
δώδεκα τριττύες, ὥστ' οὐ [συν]έπιπτεν ⟨ἂν⟩ ἀναμίσγεσθαι τὸ πλῆθος.
διένειμε δὲ καὶ τὴν χώραν κατὰ δήμους τριάκοντα μέρη, δέκα μὲν τῶν 4
περὶ τὸ ἄστυ, δέκα δὲ τῆς παραλίας, δέκα δὲ τῆς μεσογείου, καὶ ταύτας
ἐπονομάσας τριττῦς ἐκλήρωσεν τρεῖς εἰς τὴν φυλὴν ἑκάστην, ὅπως ἑκάστη
μετέχῃ πάντων τῶν τόπων. καὶ δημότας ἐποίησεν ἀλλήλων τοὺς οἰκοῦντας
ἐν ἑκάστῳ τῶν δήμων, ἵνα μὴ πατρόθεν προσαγορεύοντες ἐξελέγχωσιν τοὺς

---

1 αφιεσαν L, corr. K-W (Bl., S) κλεισθενην L, quod retinent K-W, Bl., S; sed cf. p. 25,11 5 αλκμεονιδων L 9 επιστευεν ο δημος L*, ο super εν scr. L[1]; ἐπίστευον K-W, delentes ὁ δῆμος 11 πρωτον μ(εν) ο(υν) ενειμε L, πρ. μὲν συνένειμε Newman (Bl., S., al.), πρ. μὲν οὖν συνένειμε cum lacuna ante πρῶτον K-W, sed cf. Bonitz Ind. Ar. p. 454 a 32 (Diels) 12 αναμιξαι L 16 ου κ(αι) εις L 16. 17 αυτωσυμβαινηι L*, ι super ω addidit L[1], μη L[4], ut vid. 17 κατὰ] προς L*, κ(ατα) suprascr. L[4] 18 σ(υν)επειπτεν (compendii signum conspicitur, σ periit) L, ἂν post οὐκ add. Richards, H-L, melius ante αναμ- Hude, al.

---

12 Arist., Pol. Γ 2. 1275 b 34 ἀλλ' ἴσως ἐκεῖνο μᾶλλον ἔχει ἀπορίαν, ὅσοι μέτεσχον μεταβολῆς γενομένης πολιτείας, οἷον Ἀθήνησιν ἐποίησε Κλεισθένης μετὰ τὴν τῶν τυράννων ἐκβολήν· πολλοὺς γὰρ ἐφυλέτευσε ξένους καὶ δούλους μετοίκους. Ζ 4. 1319 b 19 ἔτι δὲ καὶ τὰ τοιαῦτα κατασκευάσματα χρήσιμα πρὸς τὴν δημοκρατίαν τὴν τοιαύτην, οἷς Κλεισθένης τε Ἀθήνησιν ἐχρήσατο βουλόμενος αὐξῆσαι τὴν δημοκρατίαν, καὶ περὶ Κυρήνην οἱ τὸν δῆμον καθιστάντες. φυλαί τε γὰρ ἕτεραι ποιητέαι πλείους καὶ φρατρίαι, καὶ τὰ τῶν ἰδίων ἱερῶν συνακτέον εἰς ὀλίγα καὶ κοινά, καὶ πάντα σοφιστέον ὅπως ἂν ὅτι μάλιστα ἀναμιχθῶσι πάντες ἀλλήλοις, αἱ δὲ συνήθειαι διαζευχθῶσιν αἱ πρότερον.

21 Psell. Ὀνόματα δικῶν p. 103 Boisson. ἡ δὲ τριττὺς νεωτέρων (leg. νεώτερον) ὄνομα παρὰ τοῖς Ἀθηναίοις ἐστί. Κλεισθένης γάρ τις, εἰς τριάκοντα μοίρας τὴν Ἀττικὴν ἅπασαν διανείμας ἐπειδὴ τὸ μὲν αὐτῆς ἐπιθαλαττίδιον ἦν, τὸ δὲ ἐπὶ τοῦ μέσου καθῆστο τῆς χώρας, τὸ δὲ παρὰ τὸ ἄστυ συνέστρωτο, δέκα μὲν μοίρας τῇ παραλίῳ συντέτευχε, δέκα δὲ κατέστησεν ἐπὶ τὴν μεσόγειον, δέκα δὲ ἀστυνόμους ἐποίησε· καὶ τὸ τριτημόριον τριττὺς ὠνόμαστο.

νεοπολίτας, ἀλλὰ τῶν δήμων ἀναγορεύωσιν· ὅθεν καὶ καλοῦσιν Ἀθηναῖοι p. 9
σφᾶς αὐτοὺς τῶν δήμων. κατέστησε δὲ καὶ δημάρχους τὴν αὐτὴν ἔχοντας 5
ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις· καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν ναυκρα-
ριῶν ἐποίησεν. προσηγόρευσε δὲ τῶν δήμων τοὺς μὲν ἀπὸ τῶν τόπων,
τοὺς δὲ ἀπὸ τῶν κτισάντων· οὐ γὰρ ἅπαντες ὑπῆρχον ἔτι τοῖς τόποις.
τὰ δὲ γένη καὶ τὰς φρατρίας καὶ τὰς ἱερωσύνας εἴασεν ἔχειν ἑκάστους κατὰ 6
τὰ πάτρια. ταῖς δὲ φυλαῖς ἐποίησεν ἐπωνύμους ἐκ τῶν προκριθέντων
ἑκατὸν ἀρχηγετῶν, οὓς ἀνεῖλεν ἡ Πυθία, δέκα.

XXII. τούτων δὲ γενομένων δημοτικωτέρα πολὺ τῆς Σόλωνος ἐγένετο 1
ἡ πολιτεία· καὶ γὰρ συνέβη τοὺς μὲν Σόλωνος νόμους ἀφανίσαι τὴν τυραννίδα
διὰ τὸ μὴ χρῆσθαι, και[ν]οὺς δ' ἄλλους θεῖναι τὸν Κλεισθένη στοχαζόμενον
τοῦ πλήθους, ἐν οἷς ἐτέθη καὶ ὁ περὶ τοῦ ὀστρακισμοῦ νόμος. πρῶτον 2
μὲν οὖν ἔτει πέμπτῳ μετὰ ταύτην τὴν κατάστασιν ἐφ' Ἑρμοκρέοντος
ἄρχοντος τῇ βουλῇ τοῖς πεντακοσίοις τὸν ὅρκον ἐποίησαν ὃν ἔτι καὶ νῦν

1 Ἀθηναῖοι] hic incipit frag. Berol. II[a] 3 επιμελιαν L, -ειαν B 5 ἔτι] ita L (non εν, quod legit Bl, sed ν non posset esse nisi formae π, in hac papyro non usitatae); εν B (Bl., K-W) 6 φατριας L, φρα- B 7 εποιησαν L*, corr. L[1] επωνυμους B, επωνυμ..ς L 11 χρασθαι B καινους K-W; και[B 13 Ερμου|κρεοντος L, corr. K-W, cett.

2 Schol. Ar. Nub. 37 (dett. Ald.) ad verba δάκνει με δήμαρχός τις] ..... Ἀριστοτέλης δὲ περὶ Κλεισθένους φησὶ "κατέστησε καὶ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις (ναυκλάροις Ald.). καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν ναυκραριῶν (ναυκλαρίων Ald.) ἐποίησεν." οἱ πρότερον ναύκραροι (ναύκλαροι Ald.) εἴτε ὑπὸ Σόλωνος κατασταθέντες εἴτε καὶ πρότερον. οὗτοι δὲ τὴν πομπὴν τῶν Παναθηναίων ἐκόσμουν Κλεισθένους καταστήσαντος ἀντὶ ναυκράρων (ναυκλάρων Ald.). Harp. s. v. ναυκραρικά: ... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησὶ "κατέστησαν δὲ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις δημίους ἀντὶ τῶν ναυκράρων ἐποίησαν." Cf. Phot. ναυκραρία, Hes. ναύκλαροι (supra test. ad 9,15). Harp. δήμαρχος: ..... τούτους δέ φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ ὑπὸ Κλεισθένους κατασταθῆναι τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις. Hesych. δήμαρχοι: οἱ πρότερον καλούμενοι ναύκραροι.

4 Et. gen. (ex Photio) [exscr. Symeo et Et. M. 327,32] Ἐλεεῖς: δῆμος τῆς Ἀττικῆς. ὠνόμασται δὲ ἀπὸ τοῦ ἐν αὐτῷ ἕλους. ἑλώδης γὰρ ὁ τόπος. οἱ γὰρ δῆμοι τῶν Ἀθηναίων ἢ ἀπὸ τόπων ἢ ἀπὸ τῶν παρακειμένων αὐτοῖς ἢ ἀπὸ τῶν ἐν αὐτοῖς φυτῶν ἢ ἀπὸ τῶν ἐν αὐτοῖς χειροτεχνῶν ἢ ἀπὸ τῶν οἰκησάντων ἀνδρῶν ἢ γυναικῶν.

7 Ad glossam Lex. Bekk. quinti (BA 245,17 ἐπώνυμοι: ἄρχοντες διssoί εἰσιν, οἱ μὲν τεσσαράκοντα δύο τῶν ἡλικιῶν, οἱ δὲ δέκα τὸν ἀριθμόν, ἀφ' ὧν αἱ φυλαὶ προσηγορεύθησαν) olim pleniorem redeunt quae habent et (ex Photio) Et. gen. (descr. Et. M. 369,15) ..... ἐπώνυμοι: διττοί εἰσιν οὗτοι, οἱ μὲν λεγόμενοι τῶν ἡλικιῶν, καὶ εἰσὶ δύο καὶ τεσσαράκοντα, οἳ καλοῦνται καὶ λήξεων ἐπώνυμοι, οἱ δὲ δέκα, ἀφ' ὧν αἱ φυλαὶ προσηγορεύθησαν, οἷον Ἐρεχθεύς, Αἰγεύς, Πανδίων, Λεώς, Ἀκάμας (Ἀλκμάς Et. gen., Ἀλμᾶς Et. M.), Οἰνεύς, Κέκροψ, Ἱπποθόων, Αἴας, Ἀντίοχος. ταῦτα δὲ τὰ δέκα ὀνόματα ἀπὸ ρ̄ ὁ (ἄπορα ὁ Et. M.) Πύθιος εἵλετο Κλεισθένης (leg. Κλεισθένους) οὕτω διαταξάμενος (leg. διαταξαμένου) τὸ πᾶν πλῆθος εἰς δέκα φυλάς, et Lex. Patm. p. 15: ἐπώνυμοι δέκα, ἀφ' ὧν ἐκλήθησαν αἱ φυλαὶ τοῦ θεοῦ τοῦτο χρήσαντος. ἦσαν δὲ οὗτοι· Ἐρεχθεύς, Αἰγεύς, Ἀργώδων (sic!), Λεώς, Ἀκάμας, Οἰνεύς, Κέκροψ, Ἱππόθων, Ἀντίοχος, Αἴας. τούτους γὰρ ἐξ ὀνομάτων ἑκατὸν ὁ θεὸς ἐξελέξατο. Cf. Harp. ἐπώνυμοι (Phot.[1] Suid.[1]).

ὀμνύουσιν. ἔπειτα τοὺς στρατηγοὺς ᾑροῦντο κατὰ φυλάς, ἐξ ἑκάστης φυλῆς p. 9
ἕνα, τῆς δὲ ἁπάσης στρατιᾶς ἡγεμὼν ἦν ὁ πολέμαρχος. ἔτει δὲ μετὰ 3
ταῦτα δωδεκάτῳ νικήσαντες τὴν ἐν Μαραθῶνι μάχην ἐπὶ Φαινίππου ἄρχοντος,
διαλιπόντες ἔτη δύο μετὰ τὴν νίκην, θαρροῦντος ἤδη τοῦ δήμου τότε πρῶτον
ἐχρήσαντο τῷ νόμῳ τῷ περὶ τὸν ὀστρακισμόν, ὃς ἐτέθη διὰ τὴν ὑποψίαν
τῶν ἐν ταῖς δυνάμεσιν, ὅτι Πεισίστρατος δημαγωγὸς καὶ στρατηγὸς ὢν
τύραννος κατέστη. καὶ πρῶτος ὠστρακίσθη τῶν ἐκείνου συγγενῶν 4
Ἵππαρχος Χάρμου Κολλυτεύς, δι' ὃν καὶ μάλιστα τὸν νόμον ἔθηκεν ὁ
Κλεισθένης, ἐξελάσαι βουλόμενος αὐτόν. οἱ γὰρ Ἀθηναῖοι τοὺς τῶν τυράννων
φίλους, ὅσοι μὴ συνεξαμαρτάνοιεν ἐν ταῖς ταραχαῖς, εἴων οἰκεῖν τὴν πόλιν,
χρώμενοι τῇ εἰωθυίᾳ τοῦ δήμου πρᾳότητι· ὧν ἡγεμὼν καὶ προστάτης ἦν
Ἵππαρχος. εὐθὺς δὲ τῷ ὑστέρῳ ἔτει ἐπὶ Τελεσίνου ἄρχοντος ἐκυάμευσαν 5
τοὺς ἐννέα ἄρχοντας κατὰ φυλὰς ἐκ τῶν προκριθέντων ὑπὸ τῶν δημοτῶν
πενταχοσίων τότε μετὰ τὴν τυραννίδα πρῶτον· οἱ δὲ πρότεροι πάντες ἦσαν
αἱρετοί· καὶ ὠστρακίσθη Μεγακλῆς Ἱπποκράτους Ἀλωπεκῆθεν. ἐπὶ μὲν 6
οὖν ἔτη γ̄ τοὺς τῶν τυράννων φίλους ὠστράκιζον, ὧν χάριν ὁ νόμος ἐτέθη,
μετὰ δὲ ταῦτα τῷ τετάρτῳ ἔτει καὶ τῶν ἄλλων εἴ τις δοκοίη μείζων μεθί-
σταντο· καὶ πρῶτος ὠστρακίσθη τῶν ἄπωθεν τῆς τυραννίδος Ξάνθιππος
ὁ Ἀρίφρονος. ἔτει δὲ τρίτῳ μετὰ ταῦτα Νικοδήμου ἄρχοντος, ὡς ἐφάνη 7
τὰ μέταλλα τὰ ἐν Μαρωνείᾳ καὶ περιεγένετο τῇ πόλει τάλαντα ἑκατὸν ἐκ
τῶν ἔργων, συμβουλευόντων τινῶν τῷ δήμῳ διανείμασθαι τὸ ἀργύριον
Θεμιστοκλῆς ἐκώλυσεν, οὐ λέγων ὅ τι χρήσεται τοῖς χρήμασιν ἀλλὰ
δανεῖσαι κελεύων τοῖς πλουσιωτάτοις Ἀθηναίων ἑκατὸν ἑκάστῳ τάλαντον,
εἶτ' ἐὰν μὲν ἀρέσκῃ τὸ ἀνάλωμα, τῆς πόλεως εἶναι τὴν δαπάνην, εἰ δὲ
μή, κομίσασθαι τὰ χρήματα παρὰ τῶν δανεισαμένων. λαβὼν δ' ἐπὶ τούτοις
ἐναυπηγήσατο τριήρεις ἑκατόν, ἑκάστου ναυπηγουμένου τῶν ἑκατὸν μίαν,

1 [φυ]λης εκαστ[η]ς B, qui hic (praeter litteras nonnullas incertas) desinit 4 ἤδη om. L*, suprascr. L[4] 6 οτε L, ὅτι Harpocr. (vid. testim.), ὁ γάρ K-W 8 κολυττευς L 10 συνεξαμαρτανον L, συνεξαμαρτάνοιεν Poste, K-W, Bl.[2], H-L 12 Ἵππαρχος] hic (praeter verbum unum in versu praecedente, quod non recte legebatur κισμω) incipit frag. Berol. II[b] ὑστέρῳ] ὕστερον K-W, Bl.[3] 13 δημοτ(ων) L (Bl., S), δημων (vel δαμων, sec. Diels) B, K-W[3] 14 τότε] τοις L, corr. Bl. (K-W, H-L, S) 17 δοκη B 17. 18 μεθιστατο L*, ν suprascr. L[1]; μεθίστατο retinet Bl. 19 ν[ικο]δημου B, Dion. Hal. (S.); νικομηδους L (K-W, H-L, Bl.) 20 τάλαντα om. L*, suprascr. L[1] 20. 21 εκ των εργων εκατον ταλαντα B, ut vid. 24 τὴν δαπάνην om. L*, suprascr. L[4] (videtur etiam B habuisse); del. H-L, Bl. 26 τρ. ἑκατόν] hic desinit B

8 Cf. Harp. s. v. Ἵππαρχος: ..... ἄλλος δέ ἐστιν Ἵππαρχος ὁ Χάρμου, ὥς φησι Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους· περὶ δὲ τούτου Ἀνδροτίων ἐν τῇ β̄ φησὶν ὅτι συγγενὴς μὲν ἦν Πεισιστράτου τοῦ τυράννου καὶ πρῶτος ἐξωστρακίσθη τοῦ περὶ τὸν ὀστρακισμὸν νόμου τότε πρῶτον τεθέντος διὰ τὴν ὑποψίαν τῶν περὶ Πεισίστρατον, ὅτι δημαγωγὸς ὢν καὶ στρατηγὸς ἐτυράννησεν (Epitomen descr. Phot.[II] Suid.[V]).

20 Lex. Bekk. quintum (BA 279,32) Μαρωνία (leg. Μαρώνεια)· τόπος ἦν τῆς Ἀττικῆς, ὅπου τὰ μέταλλα εὑρέθη.

αἷς ἐναυμάχησαν ἐν Σαλαμῖνι πρὸς τοὺς βαρβάρους. ὠστρακίσθη δ' ἐν p. 9
τούτοις τοῖς καιροῖς Ἀριστείδης ὁ Λυσιμάχου. τετάρτῳ δ' ἔτει κατε- 8
δέξαντο πάντας τοὺς ὠστρακισμένους ἄρχοντος Ὑψιχίδου, διὰ τὴν Ξέρξου
στρατείαν· καὶ τὸ λοιπὸν ὥρισαν τοῖς ὀστρακιζομένοις ἐντὸς Γεραιστοῦ καὶ
Σχυλλαίου κατοικεῖν ἢ ἀτίμους εἶναι καθάπαξ.

XXIII. τότε μὲν οὖν μέχρι τούτου προῆλθεν ἡ πόλις ἅμα τῇ δημο- 1
κρατίᾳ κατὰ μικρὸν αὐξανομένη· μετὰ δὲ τὰ Μηδικὰ πάλιν ἴσχυσεν ἡ ἐν
Ἀρείῳ πάγῳ βουλὴ καὶ διῴκει τὴν πόλιν, οὐδενὶ δόγματι λαβοῦσα τὴν ἡγε-
μονίαν ἀλλὰ διὰ τὸ γενέσθαι τῆς περὶ Σαλαμῖνα ναυμαχίας αἰτία. τῶν γὰρ
στρατηγῶν ἐξαπορησάντων τοῖς πράγμασι καὶ κηρυξάντων σῴ[ζ]ειν ἕκαστον
ἑαυτόν, πορίσασα δραχμὰς ἑκάστῳ ὀκτὼ διέδωκε καὶ ἐνεβίβασεν εἰς τὰς
ναῦς. διὰ ταύτην δὴ τὴν αἰτίαν παρεχώρουν αὐτῆς τῷ ἀξιώματι, καὶ 2
ἐπολιτεύθησαν Ἀθηναῖοι καλῶς [καὶ] κατὰ τούτους τοὺς καιρούς. συνέβη
γὰρ αὐτοῖς περὶ τὸν χρόνον τοῦτον τά τε εἰς τὸν πόλεμον ἀσκῆσαι καὶ
παρὰ τοῖς Ἕλλησιν εὐδοκιμῆσαι καὶ τὴν τῆς θαλάττης ἡγεμονίαν λαβεῖν
ἀκόντων Λακεδαιμονίων. ἦσαν δὲ προστάται τοῦ δήμου κατὰ τούτους 3
τοὺς καιροὺς Ἀριστείδης ὁ Λυσιμάχου καὶ Θεμιστοκλῆς ὁ Νεοκλέους, ὁ μὲν
τὰ πολέμια δοκῶν ⟨ἀσκεῖν⟩, ὁ δὲ τὰ πολιτικὰ δεινὸς εἶναι καὶ δικαιοσύνῃ τῶν
καθ' ἑαυτὸν διαφέρειν· διὸ καὶ ἐχρῶντο τῷ μὲν στρατηγῷ, τῷ δὲ συμ-
βούλῳ. τὴν μὲν οὖν τῶν τειχῶν ἀνοικοδόμησιν κοινῇ διῴκησαν, καίπερ 4
διαφερόμενοι πρὸς ἀλλήλους, ἐπὶ δὲ τὴν ἀπόστασιν τὴν τῶν Ἰώνων ἀπὸ
τῆς τῶν Λακεδαιμονίων συμμαχίας Ἀριστείδης ἦν ὁ προτρέψας, τηρήσας
τοὺς Λάκωνας διαβεβλημένους διὰ Παυσανίαν. διὸ καὶ τοὺς φόρους 5
οὗτος ἦν ὁ τάξας ταῖς πόλεσιν τοὺς πρώτους ἔτει τρίτῳ μετὰ τὴν ἐν Σαλα-
μῖνι ναυμαχίαν ἐπὶ Τιμοσθένους ἄρχοντος, καὶ τοὺς ὅρκους ὤμοσεν τοῖς

---

2 τετάρτῳ] τρίτῳ K-W, Bl., cf. Plut. Ar. 8   3 υψηχιδου L*, ι supra η scr. L[1]   4 στρατιαν L   ἐντὸς] ἐκτὸς Wyse, Sandys, (cf. Philochor. fr. 79b μὴ ἐπιβαίνοντα ἐντὸς πέρα τοῦ Εὐβοίας ἀκρωτηρίου); μὴ ante κατοικεῖν ins. Kaibel, Bl.; textum retinent K-W, H-L   10 σωζειν L ut vid.   12 αὐτῆς] αυτ(ην) L, corr. Bl. (K-W[3]); αὐτῇ του ἀξιώματος J. E. B. Mayor, K-W[1], S   14 κ(ατα) L*, πε[ρι] suprascr. L[4]; περὶ τὸν χρόνον τοῦτον del. K-W   16 ακοντ(ων) λακ. L, non ακοντων των λακ., ut antehac ab omnibus lectum est   18 δοκῶν ἀσκεῖν] ασκων L[1], δοκῶν Richards, K-W, al.   πολιτικὰ] πολεμικα L   κ(αι) om. L*, suprascr. L[1]   20 ανωικοδομησιν L   21. 22 ἀπὸ ... συμμαχίας] κ(αι) τ(ην) τ(ων) λακ. σ(υμ)μαχιαν L, corr. Bl., al.   23 τοὺς Λάκωνας om. L*, suprascr. L[1]   24 μετὰ] δ(ια) L*, corr. L[1]

---

7 Arist. Pol. E 4. 1304a17 μεταβάλλουσι δὲ καὶ εἰς ὀλιγαρχίαν καὶ εἰς δῆμον καὶ εἰς πολιτείαν ἐκ τοῦ εὐδοκιμῆσαί τι ἢ αὐξηθῆναι ἢ ἀρχεῖον ἢ μόριον τῆς πόλεως, οἷον ἡ ἐν Ἀρείῳ πάγῳ βουλὴ εὐδοκιμήσασα ἐν τοῖς Μηδικοῖς ἔδοξε συντονωτέραν ποιῆσαι τὴν πολιτείαν, καὶ πάλιν ὁ ναυτικὸς ὄχλος γενόμενος αἴτιος τῆς περὶ Σαλαμῖνα νίκης καὶ διὰ ταύτης τῆς ἡγεμονίας διὰ τὴν κατὰ θάλατταν δύναμιν τὴν δημοκρατίαν ἰσχυροτέραν ἐποίησεν.

9 Plut. Them. 10 οὐκ ὄντων δὲ δημοσίων χρημάτων τοῖς Ἀθηναίοις Ἀριστοτέλης μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ὀκτὼ δραχμὰς ἑκάστῳ τῶν στρατευομένων αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις, Κλείδημος δὲ καὶ τοῦτο τοῦ Θεμιστοκλέους ποιεῖται στρατήγημα.

Ἴωσ[ιν] | ὥστε τὸν αὐτὸν ἐχθρὸν εἶναι καὶ φίλον, ἐφ' οἷς καὶ τοὺς μύδρους p. 10
ἐν τῷ πελάγει καθεῖσαν.

XXIV. μετὰ δὲ ταῦτα θαρρούσης ἤδη τῆς πόλεως καὶ χρημάτων 1
ἠθροισμένων πολλῶν, συνεβούλευεν ἀντιλαμβάνεσθαι τῆς ἡγεμονίας καὶ
καταβάντας ἐκ τῶν ἀγρῶν οἰκεῖν ἐν τῷ ἄστει· τροφὴν γὰρ ἔσεσθαι πᾶσι,
τοῖς μὲν στρατευομένοις, τοῖς δὲ φρουροῦσι, τοῖς δὲ τὰ κοινὰ πράττουσι,
εἶθ' οὕτω κατασχήσειν τὴν ἡγεμονίαν. πεισθέντες δὲ ταῦτα καὶ λαβόντες 2
τὴν ἀρχὴν τοῖς τε συμμάχοις δεσποτικωτέρως ἐχρῶντο πλὴν Χίων καὶ
Λεσβίων καὶ Σαμίων· τούτους δὲ φύλακας εἶχον τῆς ἀρχῆς, ἐῶντες τάς τε
πολιτείας παρ' αὐτοῖς καὶ ἄρχειν ὧν ἔτυχον ἄρχοντες. κατέστησαν δὲ 3
καὶ τοῖς πολλοῖς εὐπορίαν τροφῆς, ὥσπερ Ἀριστείδης εἰσηγήσατο. συνέ-
βαινεν γὰρ ἀπὸ τῶν φόρων καὶ τῶν τελῶν καὶ τῶν συμμάχων πλείους ἢ
δισμυρίους ἄνδρας τρέφεσθαι. δικασταὶ μὲν γὰρ ἦσαν ἑξακισχίλιοι, τοξόται
δ' ἑξακόσιοι καὶ χίλιοι, καὶ πρὸς τούτοις ἱππεῖς χίλιοι καὶ διακόσιοι, βουλὴ
δὲ πεντακόσιοι, καὶ φρουροὶ νεωρίων πεντακόσιοι, καὶ πρὸς τούτοις ἐν τῇ
πόλει φρουροὶ ν̄, ἀρχαὶ δ' ἔνδημοι μὲν εἰς ἑπτακοσίους ἄνδρας, ὑπερόριοι
δ' εἰς † ἑπτακοσίους· πρὸς δὲ τούτοις ἐπεὶ συνεστήσαντο τὸν πόλεμον
ὕστερον, ὁπλῖται μὲν δισχίλιοι καὶ πεντακόσιοι, νῆες δὲ φρουρίδες εἴκοσι,
ἄλλαι δὲ νῆες αἱ τοὺς φόρους ἄγουσαι τοὺς ἀπὸ τοῦ κυάμου δισχιλίους
ἄνδρας, ἔτι δὲ πρυτανεῖον καὶ ὀρφανοὶ καὶ δεσμωτῶν φύλακες· ἅπασι γὰρ
τούτοις ἀπὸ τῶν κοινῶν ἡ διοίκησις ἦν.

XXV. ἡ μὲν οὖν τροφὴ τῷ δήμῳ διὰ τούτων ἐγίγνετο. ἔτη δὲ 1
ἑπτακαίδεκα μάλιστα μετὰ τὰ Μηδικὰ διέμεινεν ἡ πολιτεία προεστώτων
τῶν Ἀρεοπαγιτῶν, καίπερ ὑποφερομένη κατὰ μικρόν. αὐξανομένου δὲ τοῦ
πλήθους γενόμενος τοῦ δήμου προστάτης Ἐφιάλτης ὁ Σοφωνίδου, | δοκῶν p. 11
καὶ ἀδωροδόκητος εἶναι καὶ δίκαιος πρὸς τὴν πολιτείαν, ἐπέθετο τῇ βουλῇ.
καὶ πρῶτον μὲν ἀνεῖλεν πολλοὺς τῶν Ἀρεοπαγιτῶν, ἀγῶνας ἐπιφέρων περὶ 2
τῶν διῳκημένων· ἔπειτα τῆς βουλῆς ἐπὶ Κόνωνος ἄρχοντος ἅπαντα
περιεῖλε⟨το⟩ τὰ ἐπίθετα δι' ὧν ἦν ἡ τῆς πολιτείας φυλακή, καὶ τὰ μὲν
τοῖς πεντακοσίοις τὰ δὲ τῷ δήμῳ καὶ τοῖς δικαστηρίοις ἀπέδωκεν.
ἔπρα[ξ]ε δὲ ταῦτα συναιτίου γενομένου Θεμιστοκλέους, ὃς ἦν μὲν τῶν 3
Ἀρεοπαγιτῶν, ἔμελλε δὲ κρίνεσθαι μηδισμοῦ. βουλόμενος δὲ καταλυθῆναι

4 πολλων ηθροισμ(εν)ων L*, ordinem correxit litteris β, α superscriptis L[1] 10 ⟨τὰς⟩ παρ' K-W 15 τῇ del. K-W, Bl.; sed cf. notam ap. Sandys 16 ἦσαν post μ(εν) habet L*, del. punctis superpositis L[1] 17 ἑπτακοσίους falso iteratum notant K-W 18 οπλειται L 22 εγινετο L 24 τ(ων) in L dubium est 25 κ(αι) δοκων L, corr. K-W 29 περιειλε L, quod retinet Bl. (cf. p. 18,2); περιείλετο Richards, K-W, S

25 Arist. Pol. B 12. 1274a 7 καὶ τὴν μὲν ἐν Ἀρείῳ πάγῳ βουλὴν Ἐφιάλτης ἐκόλουσε καὶ Περικλῆς.

31 Argum. Areopag. Isocratis . . . Ἐφιάλτης τις καὶ Θεμιστοκλῆς χρεωστοῦντες τῇ πόλει χρήματα καὶ εἰδότες, ὅτι ἐὰν δικάσωσιν οἱ Ἀρεοπαγῖται, πάντως (an πάντα?) ἀποδώσουσιν, καταλῦσαι αὐτοὺς ἔπεισαν τὴν πόλιν, οὕτως οὔπως τινὸς μέλλοντος κριθῆναι. ὁ γὰρ Ἀριστοτέλης λέγει ἐν τῇ Πολιτείᾳ τῶν Ἀθηναίων, ὅτι καὶ ὁ Θεμιστοκλῆς αἴτιος ἦν μὴ πάντα δικάζειν τοὺς Ἀρεοπαγίτας. . . . εἶτα οἱ Ἀθηναῖοι ἀσμένως ἀκούσαντες τῆς τοιαύτης συμβουλῆς κατέλυσαν αὐτούς.

τὴν βουλὴν ὁ Θεμιστοκλῆς πρὸς μὲν τὸν Ἐφιάλτην ἔλεγεν ὅτι συναρπάζειν p. 11
αὐτὸν ἡ βουλὴ μέλλει, πρὸς δὲ τοὺς Ἀρεοπαγίτας ὅτι δείξει τινὰς συνιστα-
μένους ἐπὶ καταλύσει τῆς πολιτείας. ἀγαγὼν δὲ τοὺς αἱρεθέντας τῆς
βουλῆς οὗ διέτριβεν ὁ Ἐφιάλτης, ἵνα δείξῃ τοὺς ἀθροιζομένους, διελέγετο
μετὰ σπουδῆς αὐτοῖς. ὁ δ' Ἐφιάλτης ὡς εἶδεν καταπλαγεὶς καθίζει μονο-
χίτων ἐπὶ τὸν βωμόν. θαυμασάντων δὲ πάντων τὸ γεγον[ὸς] καὶ μετὰ 4
ταῦτα συναθροισθείσης τῆς βουλῆς τῶν πεντακοσίων κατηγόρουν τῶν
Ἀρεοπαγιτῶν ὅ τ' Ἐφιάλτης καὶ ⟨ὁ⟩ Θεμιστοκλῆς, καὶ πάλιν ἐν τῷ δήμῳ
τὸν αὐτὸν τρόπον, ἕως περιείλοντο αὐτῶν τὴν δύναμιν. καί * * * ἀνῃρέθη
δὲ καὶ ὁ Ἐφιάλτης δολοφονηθεὶς μετ' οὐ πολὺν χρόνον δι' Ἀριστοδίκου
τοῦ Ταναγραίου.

XXVI. ἡ μὲν οὖν τῶν Ἀρεοπαγιτῶν βουλὴ τοῦτον τὸν τρόπον ἀπε- 1
στερήθη τῆς ἐπιμελείας. μετὰ δὲ ταῦτα συνέβαινεν ἀνίεσθαι μᾶλλον τὴν
πολιτείαν διὰ τοὺς προθύμως δημαγωγοῦντας. κατὰ γὰρ τοὺς καιροὺς
τούτους συνέπεσε μηδ' ἡγεμόνα ἔχειν τοὺς ἐπιεικεστέρους, ἀλλ' αὐτῶν
προεστάναι Κίμωνα τὸν Μιλτιάδου, νεώτερον ὄντα καὶ πρὸς τὴν πόλιν
ὀψὲ προσελθόντα, πρὸς δὲ τούτοις ἐφθάρθαι τοὺς πολλοὺς κατὰ πόλεμον·
τῆς γὰρ στρατείας γιγνομένης ἐν τοῖς τότε χρόνοις ἐκ καταλόγου καὶ στρα-
τηγῶν ἐφισταμένων ἀπείρων μὲν τοῦ πολεμεῖν τιμωμένων δὲ διὰ τὰς
πατρικὰς δόξας, αἰεὶ συνέβαινεν τῶν ἐξιόντων ἀνὰ δισχιλίους ἢ τρισχιλίους
ἀπόλλυσθαι, ὥστε ἀναλίσκεσθαι τοὺς ἐπιεικεῖς καὶ τοῦ δήμου καὶ τῶν
εὐπόρων. τὰ μὲν οὖν ἄλλα πάντα διῴκουν οὐχ ὁμοίως καὶ πρότερον 2
τοῖς νόμοις προσέχοντες, τὴν δὲ τῶν ἐννέα ἀρχόντων αἵρεσιν οὐκ ἐκίνουν,
ἀλλ' ἕκτῳ ἔτει μετὰ τὸν Ἐφιάλτου θάνατον ἔγνωσαν καὶ ἐκ ζευγιτῶν προ-
κρίνεσθαι τοὺς κληρωσομένους τῶν ἐννέα ἀρχόντων, καὶ πρῶτος ἦρξεν ἐξ
αὐτῶν Μνησιθείδης. οἱ δὲ πρὸ τούτου πάντες ἐξ ἱππέων καὶ πεντακοσιο-
μεδίμνων ἦσαν, οἱ ⟨δὲ⟩ ζευγῖται τὰς ἐγκυκλίους ἦρχον, εἰ μή τι παρεωρᾶτο
τῶν ἐν τοῖς νόμοις. ἔτει δὲ πέμπτῳ μετὰ ταῦτα ἐπὶ Λυσικράτους ἄρχοντος 3
οἱ τριάκοντα δικασταὶ κατέστησαν πάλιν οἱ καλούμενοι κατὰ δήμους· καὶ 4
τρίτῳ μετὰ τοῦτον ἐπὶ Ἀντιδότου διὰ τὸ πλῆθος τῶν πολιτῶν Περικλέους
εἰπόντος ἔγνωσαν μὴ μετέχειν τῆς πόλεως ὃς ἂν μὴ ἐξ ἀμφοῖν ἀστοῖν ᾖ
γεγονώς.

3 αφαιρεθεντας L 8 ὁ add. K-W, al. 9 περειλον L^{*}, το superscr. L^{1}; παρείλοντο H-L, Bl. lacunam inter καὶ et ἀνῃρέθη indicant K-W, Bl., S. 13 ανειεσθαι L 16 νεώτερον] νωθρότερον Kontos (K-W), alii alia 18 γινομενης L 20 δισχειλιους L 23 εκεινουν L 27 δὲ om. L post παρεωρᾶτο habuit L^{*} υπο τ(ων) δημων, sed del. $L^{1?}$ 30 μετ αυτον L^{*}, quod recipit Bl.; μετα τουτον L^{4} (K-W, S.) 31 ᾖ] ην L

10 Plut. Pericl. 10 Ἐφιάλτην μὲν οὖν φοβερὸν ὄντα τοῖς ὀλιγαρχικοῖς καὶ περὶ τὰς εὐθύνας καὶ διώξεις τῶν τὸν δῆμον ἀδικούντων ἀπαραίτητον ἐπιβουλεύσαντες οἱ ἐχθροὶ δι' Ἀριστοδίκου τοῦ Ταναγρικοῦ κρυφαίως ἀνεῖλον, ὡς Ἀριστοτέλης εἴρηκεν.

30 Arist. Pol. Γ 5. 1278^{a}29 οὐ μὴν ἀλλ' ἐπεὶ δι' ἔνδειαν τῶν γνησίων πολιτῶν ποιοῦνται πολίτας τοὺς τοιούτους (sc. τοὺς νόθους). ... εὐποροῦντες δ' ὄχλου κατὰ μικρὸν παραιροῦνται τοὺς ἐκ δούλου πρῶτον ἢ δούλης, εἶτα τοὺς ἀπὸ γυναικῶν, τέλος δὲ μόνον τοὺς ἐξ ἀμφοῖν ἀστῶν πολίτας ποιοῦσιν.

XXVII. μετὰ δὲ ταῦτα πρὸς τὸ δημαγωγεῖν ἐλθόντος Περικλέους καὶ 1
πρῶτον εὐδοκιμήσαντος ὅτε κατηγόρησε τὰς εὐθύνας Κίμωνος στρατη- p. 11
γοῦντος νέος ὤν, δημοτικωτέραν ἔτι συνέβη γενέσθαι τὴν πολιτείαν· καὶ
γὰρ τῶν Ἀρεοπαγιτῶν ἔνια παρείλετο καὶ μάλιστα προύτρεψεν τὴν πόλιν
ἐπὶ τὴν ναυτικὴν δύναμιν, ἐξ ἧς συνέβη θαρρήσαντας τοὺς πολλοὺς ἅπασαν
τὴν πολιτείαν μᾶλλον ἄγειν εἰς αὑτούς. μετὰ δὲ τὴν ἐν Σαλαμῖνι ναυ- 2
μαχίαν ἑνὸς δεῖ πεντηκοστῷ ἔτει ἐπὶ Πυθοδώρου ἄρχοντος ὁ πρὸς Πελο-
ποννησίους ἐνέστη πόλεμος, ἐν ᾧ κατακλεισθεὶς ὁ δῆμος ἐν τῷ ἄστει καὶ
συνεθισθεὶς ἐν ταῖς στρατείαις μισθοφορεῖν, τὰ μὲν ἑκὼν τὰ δὲ ἄκων προῃ-
ρεῖτο τὴν πολιτείαν διοικεῖν αὐτός. ἐποίησε δὲ καὶ μισθοφόρα τὰ δικαστήρια 3
Περικλῆς πρῶτος, ἀντιδημαγωγῶν πρὸς τὴν Κίμωνος εὐπορίαν. ὁ γὰρ
Κίμων, ἅτε τυραννικὴν ἔχων οὐσίαν, πρῶτον μὲν τὰς κοινὰς λῃτουργίας
ἐλῃτούργει λαμπρῶς, ἔπειτα τῶν δημοτῶν ἔτρεφε πολλούς· ἐξῆν γὰρ τῷ
βουλομένῳ Λακιαδῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐλθόντι παρ' αὐτὸν ἔχειν
τὰ μέτρια, ἔτι δὲ τὰ χωρία πάντα ἄφρακτα ἦν, ὅπως ἐξῇ τῷ βουλομένῳ
τῆς ὀπώρας ἀπολαύειν. πρὸς δὴ ταύτην τὴν χορηγίαν ἐπιλειπόμενος ὁ 4
Περικλῆς τῇ οὐσίᾳ, συμβουλεύσαντος αὐτῷ Δαμωνίδου τοῦ Οἴηθεν (ὃς
ἐδόκει τῶν πολλῶν εἰσηγητὴς εἶναι τῷ Περικλεῖ· διὸ καὶ ὠστράκισαν
αὐτὸν ὕστερον), ἐπεὶ τοῖς ἰδίοις ἡττᾶτο, διδόναι τοῖς πολλοῖς τὰ αὑτῶν,
κατεσκεύασε μισθοφορὰν τοῖς δικασταῖς· ἀφ' ὧν αἰτιῶνταί τινες χείρω
γενέσθαι, κληρουμένων ἐπιμελῶς ἀεὶ μᾶλλον τῶν τυχόντων ἢ τῶν ἐπιεικῶν
ἀνθρώπων. ἤρξατο δὲ μετὰ ταῦτα καὶ τὸ δεκάζειν, πρώτου καταδείξαντος 5
Ἀνύτου μετὰ τὴν ἐν Πύλῳ στρατηγίαν. κρινόμενος γὰρ ὑπό τινων διὰ τὸ
ἀποβαλεῖν Πύλον, δεκάσας τὸ δικαστήριον ἀπέφυγεν.

---

2 πρωτου L, προτοῦ Jackson, πρῶτον Bl., al. 3 ετι L*, επι L¹ 5 πασαν L*, α superscr. L¹ 7 δεῖ] cf. p. 23,8 8 κατακλισθεις L, -κλῃσθεὶς K-W, al.; cf. p. 18,7 9 στρατιαις L, corr. K-W, al. 13 τους ante πολλους L*, del. L¹? 15 εξην L 17 ὃς] ους L*, fortasse correctum, ut putat Wn. 20 χείρους Newman, al., at cf. Crönert *Philol.* 61, 182 21 μαλλον om. L*, superscr. L⁴ 23 Ἀνύτου] αυτου L, corr. ex Harp. (v. testim.)

---

4 cf. testim. ad p. 28,25.

10 Arist. Pol. B 22. 1274a8 τὰ δὲ δικαστήρια μισθοφόρα κατέστησε Περικλῆς.

11 Plut. Per. 9 ἐν ἀρχῇ μὲν γάρ, ὥσπερ εἴρηται, πρὸς τὴν Κίμωνος δόξαν ἀντιταττόμενος ὑπεποιεῖτο τὸν δῆμον, ἐλαττούμενος δὲ πλούτῳ καὶ χρήμασιν, ἀφ' ὧν ἐκεῖνος ἀνελάμβανε τοὺς πένητας δεῖπνόν τε καθ' ἡμέραν τῷ δεομένῳ παρέχων Ἀθηναίων καὶ τοὺς πρεσβυτέρους ἀμφιεννύων τῶν τε χωρίων τοὺς φραγμοὺς ἀφαιρῶν, ὅπως ὀπωρίζωσιν οἱ βουλόμενοι, τούτοις ὁ Περικλῆς καταδημαγωγούμενος τρέπεται πρὸς τὴν τῶν δημοσίων διανομήν, συμβουλεύσαντος αὐτῷ Δαμωνίδου (δημωνίδου libri, corr. Sintenis) τοῦ Οἴηθεν (sic codex Seitenstettensis), ὡς Ἀριστοτέλης ἱστόρηκε. ib. 4 de Damone: τῷ δὲ Περικλεῖ συνῆν καθάπερ ἀθλητῇ τῶν πολιτικῶν ἀλείπτης καὶ διδάσκαλος.

13 Plut. Cim. 10 ὡς δ' Ἀριστοτέλης φησίν, οὐχ ἁπάντων Ἀθηναίων, ἀλλὰ τῶν δημοτῶν αὐτοῦ Λακιαδῶν παρεσκευάζετο τῷ βουλομένῳ τὸ δεῖπνον.

22 Harpocr. s. v δεκάζων: ..... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ Ἄνυτόν φησι καταδεῖξαι τὸ δεκάζειν τὰ δικαστήρια. — Adde glossas Lex. Bekk. quinti (BA 211,31) Ἄνυτος· οὗτος πρῶτος δικαστήριον κατέδειξεν (lege κατεδέκασεν) et (ib. 236,3) δεκάζειν:

XXVIII. ἕως μὲν οὖν Περικλῆς προειστήκει τοῦ δήμου βελτίω τὰ κατὰ 1
τὴν πολιτείαν ἦν, τελευτήσαντος δὲ Περικλέους πολὺ χείρω. πρῶτον γὰρ p. 11
τότε προστάτην ἔλαβεν ὁ δῆμος οὐκ εὐδοκιμοῦντα παρὰ τοῖς ἐπιεικέσιν·
ἐν δὲ τοῖς πρότερον χρόνοις ἀεὶ διετέλουν οἱ ἐπιεικεῖς δημαγωγοῦντες. ἐξ 2
ἀρχῆς μὲν γὰρ καὶ πρῶτος ἐγένετο προστάτης τοῦ δήμου Σόλων, δεύτερος δὲ Πεισίστρατος, τῶν εὐγενῶν καὶ γνωρίμων· καταλυθείσης δὲ τῆς τυραννίδος Κλεισθένης, τοῦ γένους ὢν τῶν Ἀλκμεωνιδῶν, καὶ τούτῳ μὲν οὐδεὶς ἦν ἀντιστασιώτης, ὡς ἐξέπεσον οἱ περὶ τὸν Ἰσαγόραν. μετὰ δὲ ταῦτα τοῦ μὲν δήμου προειστήκει Ξάνθιππος, τῶν δὲ γνωρίμων Μιλτιάδης, ἔπειτα Θεμιστοκλῆς καὶ Ἀριστείδης· μετὰ δὲ τούτους Ἐφιάλτης μὲν τοῦ δήμου, Κίμων δ' ὁ Μιλτιάδου τῶν εὐπόρων· εἶτα Περικλῆς μὲν τοῦ δήμου, Θουκυδίδης δὲ τῶν ἑτέρων, κηδεστὴς ὢν Κίμωνος. Περικλέους δὲ τελευτή- 3
σαντος τῶν μὲν ἐπιφανῶν προειστήκει Νικίας ὁ ἐν Σικελίᾳ τελευτήσας, τοῦ δὲ δήμου Κλέων ὁ Κλεαινέτου, ὃς δοκεῖ μάλιστα διαφθεῖραι τὸν δῆμον ταῖς ὁρμαῖς, καὶ πρῶτος ἐπὶ τοῦ βήματος ἀνέκραγε καὶ ἐλοιδορήσατο καὶ περιζωσάμενος ἐδημηγόρησε, τῶν ἄλλων ἐν κόσμῳ λεγόντων. εἶτα μετὰ τούτους τῶν μὲν ἑτέρων Θηραμένης ὁ Ἅγνωνος, τοῦ δὲ δήμου Κλεοφῶν ὁ λυροποιός, ὃς καὶ τὴν διωβελίαν ἐπόρισε πρῶτος· καὶ χρόνον μέν τινα

---

1 βελτειω L 3 ευδοκιμουμενοντα (μ alterum super ν scriptum) L*, corr. L[1]
6 τῶν ... γνωρίμων del. K-W; post εὐγενῶν ins. ὢν Richards (H-L, Bl.)
7 αλκμεονιδων L 14 κλαιενετου L 18 διωβολιαν L, corr. K-W, al.

τὸ διαφθείρειν τοὺς δικαστὰς ἢ ἐκκλησίας τοῖς (lege ἐκκλησιαστὰς) χρήμασι καὶ δώροις. ἐκλήθη δὲ τὸ πρᾶγμα οὕτως, ἐπεὶ κατὰ δέκα συναθροιζόμενοι ἐλάμβανον τὰ δῶρα. πρῶτος δ' ἐδόκει δεκάσαι Μέλης (sic!) τὰς εὐθύνας διδοὺς τῆς ἐν Πύλῳ στρατηγίας, ἣν κακῶς ἐστρατήγησεν, quae glossa exscripta est [ex Photio] ab Etym. gen. (unde Symeo et Et. M. 254,28) δεκάζειν: διαφθείρειν τοὺς δικάζοντας ἢ τοὺς ἐκκλησιαστὰς χρήμασι καὶ δώροις. ἐκλήθη δὲ ἀπὸ τοῦ κατὰ δέκα ἀθροιζομένους λαμβάνειν τὰ δῶρα. πρῶτον δέ φασι δεκάσαι Μέλητα ..... ἐκ τοῦ ῥητορικοῦ. Schol. Aeschin I 87 ἐδέκαζεν οὖν διέφθειρεν ἀργυρίῳ τοὺς δικαστάς. ἤρξατο δὲ τοῦ τοιούτου πρῶτος Ἄνυτος.

14 Schol. Lucian. Tim. 30 (p. 47 sq. Jacob.) de Cleone ἐπέστη δὲ καὶ τῇ πρὸς Λακεδαιμονίους εἰρήνῃ, ὡς Φιλόχορος καὶ Ἀριστοφάνης προσθεὶς [προθεὶς Diels] ἄρχοντα Εὔθυνον· Ἀριστοτέλης δὲ καὶ περιζωσάμενον αὐτὸν λέγει δημηγορῆσαι, εἰς τὴν θρασύτητα αὐτοῦ ἀποσκώπτων. Schol. Aeschin. I 25: λέγεται δὲ Κλέων ὁ δημαγωγὸς παραβὰς τὸ ἐξ ἔθους σχῆμα περιζωσάμενος δημηγορῆσαι. Cf. Plut. Nic. 8: καὶ μέντοι καὶ τὴν πόλιν ἔβλαψεν οὐ μικρὰ τῷ Κλέωνι τοσοῦτον προσγενέσθαι δόξης ἐάσας καὶ δυνάμεως, ὑφ' ἧς εἰς βαρὺ φρόνημα καὶ θράσος ἐμπεσὼν ἀκάθεκτον ἄλλας τε τῇ πόλει προσετρίψατο συμφοράς, ὧν οὐχ ἥκιστα καὶ αὐτὸς ἀπέλαυσε, καὶ τὸν ἐπὶ τοῦ βήματος κόσμον ἀνελὼν καὶ πρῶτος ἐν τῷ δημηγορεῖν ἀνακραγὼν καὶ περισπάσας τὸ ἱμάτιον καὶ τὸν μηρὸν πατάξας καὶ δρόμῳ μετὰ τοῦ λέγειν ἅμα χρησάμενος τὴν ὀλίγον ὕστερον ἅπαντα τὰ πράγματα συγχέασαν εὐχέρειαν καὶ ὀλιγωρίαν τοῦ πρέποντος ἐνεποίησε τοῖς πολιτευομένοις.

18 Schol. Ar. Vesp. 684 (V, dett.) τοῦτο (scr. τὸ τριώβολον) δὲ ἄλλοτε ἄλλως ἐδίδοτο τῶν δημαγωγῶν τὰ πλήθη κολακευόντων, ὥς φησιν Ἀριστοτέλης ἐν Πολιτείαις. Proverb. Ath. III 151 (Plut. vulg. II 11), Zenob. Par. VI 29, = Phot. Suid. s. v. ὑπὲρ τὰ Καλλικράτους (ex Pausania): ... Ἀριστοτέλης δέ φησιν ἐν τῇ (ἄλλοι δέ φασιν Plut. vulg.) Ἀθηναίων

διεδίδοτο, μετὰ δὲ ταῦτα κατέλυσε Καλλικράτης Παιανιεὺς πρῶτος ὑπο- p. 11 σχόμενος ἐπιθήσειν πρὸς δυοῖν ὀβολοῖν ἄλλον ὀβολόν. τούτων μὲν οὖν ἀμφοτέρων θάνατον κατέγνωσαν ὕστερον· εἴωθεν γάρ, κἂν ἐξαπατηθῇ τὸ πλῆθος, ὕστερον μισεῖν τούς τι προαγαγόντας ποιεῖν αὐτοὺς τῶν μὴ καλῶς ἐχόντων. ἀπὸ δὲ Κλεοφῶντος ἤδη διεδέχοντο συνεχῶς τὴν δημαγωγίαν 4 οἱ μάλιστα βουλόμενοι θρασύνεσθαι καὶ χαρίζεσθαι τοῖς πολλοῖς, πρὸς τὰ παραυτίκα βλέποντες. δοκοῦσι δὲ βέλτιστοι γεγονέναι τῶν Ἀθήνησι 5 πολιτευσαμένων μετὰ τοὺς ἀρχαίους Νικίας καὶ Θουκυδίδης καὶ Θηραμένης. καὶ περὶ μὲν Νικίου καὶ Θουκυδίδου πάντες σχεδὸν ὁμολογοῦσιν ἄνδρας γεγονέναι οὐ μόνον καλοὺς κἀγαθοὺς ἀλλὰ καὶ πολιτικοὺς καὶ τῇ πόλει πάσῃ πατρικῶς χρωμένους, περὶ δὲ Θηραμένους διὰ τὸ συμβῆναι κατ' αὐτὸν ταραχώδεις τὰς πολιτείας ἀμφισβήτησις τῆς κρίσεώς ἐστι. δοκεῖ μέντοι τοῖς μὴ παρέργως ἀποφαινομένοις οὐχ ὥσπερ αὐτὸν διαβάλλουσι πάσας τὰς πολιτείας καταλύειν, ἀλλὰ πάσας προάγειν ἕως μηδὲν παρανομοῖεν, ὡς δυνάμενος πολιτεύεσθαι κατὰ πάσας, ὅπερ ἐστὶν ἀγαθοῦ πολίτου ἔργον, παρανομούσαις δὲ οὐ συγχω[ρ]ῶν ἀλλ' ἀπεχθανόμενος.

XXIX. ἕως μὲν οὖν ἰσόρροπα τὰ πράγματα κατὰ τὸν πόλεμον ἦν, 1 διεφύλαττον τὴν δημοκρατίαν. ἐπεὶ δὲ μετὰ τὴν ἐν Σικελίᾳ γενομένην συμφορὰν ἰσχυρότερα τὰ τῶν Λακεδαιμονίων ἐγένετο διὰ τὴν πρὸς βασιλέα συμμαχίαν, ἠναγκάσθησαν κι[νήσα]ντες τὴν δημοκρατίαν καταστῆσαι τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν, εἰπόντος τὸν μὲν πρὸ τοῦ ψηφίσματος λόγον Μηλοβίου, τὴν δὲ γνώμην γράψαντος Πυθοδώρου το[ῦ Ἀναφλ]υ[σ]τίου, μάλιστα δὲ συμπεισθέντων τῶν πολλῶν διὰ τὸ νομίζειν βασιλέα μᾶ[λ]λον ἑαυτοῖς συμπολεμήσειν, ἐὰν δι' ὀλίγων ποιήσωνται τὴν πολιτείαν. | ἦν δὲ p. 12

1 διεδιδου L, corr. Wyse, cett. (ex schol. Arist. Vesp. 88, 684); non tamen certum 6 τὰ] το legit Bl.; lectio non omnino certa, sed videtur α esse 7 δὲ] δοι L*, ε suprascr. L1? αθηνηισι L, sed cf. Meisterhans [3], p. 146 8 πολειτευσαμ(εν)ων L 11 πατρικῶς] καλως superscr. L4?; sed cf. Plut. Nic. 2 12. 13 μέντοι τοῖς] μ(εν)τοις L, μέντοι sine τοῖς K-W 17 ισοροπα L 19 διαφοραν L, corr. Richards, cett. ισχυροτατα L, corr. J. B. Mayor, cett. 20 κε . . . . . ντες L, κινήσαντες K-W 22 Ἀναφλυστίου Bl., quod cum vestigiis congruit 23 μᾶλλον J. B. Mayor 24 hic incipit volumen alterum, quare in summa pagina scripta est littera B ην δ(ε) bis male scriptum L*, melius superscr. L4

πολιτείᾳ Καλλικράτην τινὰ πρῶτον τοὺς δικαστικοὺς μισθοὺς (τῶν δικαστῶν τοὺς μισθοὺς Zenob. Par.) εἰς ὑπερβολὴν αὐξῆσαι (hic. desin. Plut. vulg.), ὅθεν καὶ τὴν παροιμίαν εἰρῆσθαι.

p. 31,18 Arist. Pol. B 7. 1267b1 καὶ τὸ πρῶτον μὲν ἱκανὸν διωβολία μόνον, ὅταν δ' ἤδη τοῦτ' ᾖ πάτριον, ἀεὶ δέονται τοῦ πλείονος, ἕως εἰς ἄπειρον ἔλθωσιν.

8 Plut. Nic. 2 ἔνεστιν οὖν περὶ Νικίου πρῶτον εἰπεῖν ὃ γέγραφεν Ἀριστοτέλης, ὅτι τρεῖς ἐγένοντο βέλτιστοι τῶν πολιτῶν καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον, Νικίας ὁ Νικηράτου καὶ Θουκυδίδης ὁ Μελησίου καὶ Θηραμένης ὁ Ἅγνωνος· ἧττον δὲ οὗτος ἢ ἐκεῖνοι.

23 Arist. Pol. E 4. 1304b12 οἷον ἐπὶ τῶν τετρακοσίων τὸν δῆμον ἐξηπάτησαν, φάσκοντες τὸν βασιλέα χρήματα παρέξειν πρὸς τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους, ψευσάμενοι δὲ κατέχειν ἐπειρῶντο τὴν πολιτείαν.

τὸ ψήφισμα τοῦ Πυθοδώρου τοιόνδε· τὸν δῆμον ἑλέσθαι μετὰ τῶν προ- 2
υπαρχόντων δέκα προβούλων ἄλλους εἴκοσι ἐκ τῶν ὑπὲρ τετταράκοντα ἔτη p. 12
γεγονότων, οἵτινες ὀμόσαντες ἦ μὴν συγγράψειν ἃ ἂν ἡγῶνται βέλτιστα
εἶναι τῇ πόλει συγγράψουσι περὶ τῆς σωτηρίας· ἐξεῖναι δὲ καὶ τῶν ἄλλων
τῷ βουλομένῳ γράφειν, ἵν' ἐξ ἁπάντων αἱρῶνται τὸ ἄριστον. Κλειτοφῶν 3
δὲ τὰ μὲν ἄλλα καθάπερ Πυθόδωρος εἶπεν, προσαναζητῆσαι δὲ τοὺς αἱρε-
θέντας ἔγραψεν καὶ τοὺς πατρίους νόμους οὓς Κλεισθένης ἔθηκεν ὅτε
καθίστη τὴν δημοκρατίαν, ὅπως ⟨ἂν⟩ ἀκούσαντες καὶ τούτων βουλεύσωνται
τὸ ἄριστον, ὡς οὐ δημοτικὴν ἀλλὰ παραπλησίαν οὖσαν τὴν Κλεισθένους
πολιτείαν τῇ Σόλωνος. οἱ δ' αἱρεθέντες πρῶτον μὲν ἔγραψαν ἐπάναγκες 4
εἶναι τοὺς πρυτάνεις ἅπαντα τὰ λεγόμενα περὶ τῆς σωτηρίας ἐπιψηφίζειν,
ἔπειτα τὰς τῶν παρανόμων γραφὰς καὶ τὰς εἰσαγγελίας καὶ τὰς προσκλήσεις
ἀνεῖλον, ὅπως ἂν οἱ ἐθέλοντες Ἀθηναίων συμβουλεύωσι περὶ τῶν προκει-
μένων· ἐὰν δέ τις τούτων χάριν ἢ ζημιοῖ ἢ προσκαλῆται ἢ εἰσάγῃ εἰς
δικαστήριον, ἔνδειξιν αὐτοῦ εἶναι καὶ ἀπαγωγὴν πρὸς τοὺς στρατηγούς, τοὺς
δὲ στρατηγοὺς παραδοῦναι τοῖς ἕνδεκα θανάτῳ ζημιῶσαι. μετὰ δὲ 5
ταῦτα τὴν πολιτείαν διέταξαν τόνδε ⟨τὸν⟩ τρόπον· τὰ μὲν χρήματα ⟨τὰ⟩
προσιόντα μὴ ἐξεῖναι ἄλλοσε δαπανῆσαι ἢ εἰς τὸν πόλεμον, τὰς δ' ἀρχὰς
ἀμίσθους ἄρχειν ἁπάσας ἕως ἂν ὁ πόλεμος ᾖ, πλὴν τῶν ἐννέα ἀρχόντων
καὶ τῶν πρυτάνεων οἳ ἂν ὦσιν· τούτους δὲ φέρειν τρεῖς ὀβολοὺς ἕκαστον
τῆς ἡμέρας. τὴν δ' ἄλλην πολιτείαν ἐπιτρέψαι πᾶσαν Ἀθηναίων τοῖς δυνα-
τωτάτοις καὶ τοῖς σώμασιν καὶ τοῖς χρήμασιν λῃτουργεῖν μὴ ἔλαττον ἢ
πεντακισχιλίοις, ἕως ἂν ὁ πόλεμος ᾖ· κυρίους δ' εἶναι τούτους καὶ συν-
θήκας συντίθεσθαι πρὸς οὓς ἂν ἐθέλωσιν· ἑλέσθαι δὲ καὶ τῆς φυλῆς
ἑκάστης δέκα ἄνδρας ὑπὲρ τετταράκοντα ἔτη γεγονότας, οἵτινες καταλέξουσι
τοὺς πεντακισχιλίους ὀμόσαντες καθ' ἱερῶν τελείων.

---

1 του] το Bl, K-W[3] 8 ἂν add. K-W; cf. Meisterhans[3], p. 254 12 νομων π(αρα)-γραφας L*, π(αρα) del. et ante νομων suprascr. L[4?] προκλησεις L, corr. Bl, Wyse 14. 15 η εις δικ. L 21 πασιν L, corr. Newman, cett. 22. 23 ἢ πεντακισχιλίοις] ita L*, ων suprascr. L[4], qui fortasse ἢ non vidisset; hoc tamen recipiunt (ἢ deleto) K-W, Bl[3] 24 τιθεσθ(αι) L*, συν suprascr. L[1] δ(ε) κ(αι) L; δ' ἐκ Herwerden (H-L, Bl, S, K-W[3]): καί, i. e. hos novos insuper magistratus fieri

---

1 Thuc. VIII 67 πρῶτον μὲν τὸν δῆμον ξυλλέξαντες εἶπον γνώμην δέκα ἄνδρας ἑλέσθαι ξυγγραφέας αὐτοκράτορας, τούτους δὲ ξυγγράψαντας γνώμην ἐσενεγκεῖν ἐς τὸν δῆμον ἐς ἡμέραν ῥητήν, καθ' ὅ τι ἄριστα ἡ πόλις οἰκήσεται. ἔπειτα, ἐπειδὴ ἡ ἡμέρα ἐφῆκε, ξυνέκλῃσαν τὴν ἐκκλησίαν ἐς τὸν Κολωνόν . . . . . καὶ ἐσήνεγκαν οἱ ξυγγραφῆς ἄλλο μὲν οὐδέν, αὐτὸ δὲ τοῦτο, ἐξεῖναι μὲν Ἀθηναίων * ἀνειπεῖν γνώμην ἣν ἄν τις βούληται· ἢν δέ τις τὸν εἰπόντα ἢ γράψηται παρανόμων ἢ ἄλλῳ τῳ τρόπῳ βλάψῃ, μεγάλας ζημίας ἐπέθεσαν. ἐνταῦθα δὴ λαμπρῶς ἐλέγετο ἤδη μήτε ἀρχὴν ἄρχειν μηδεμίαν ἔτι ἐκ τοῦ αὐτοῦ κόσμου μήτε μισθοφορεῖν, προέδρους τε ἑλέσθαι πέντε ἄνδρας, τούτους δὲ ἑλέσθαι ἑκατὸν ἄνδρας, καὶ τῶν ἑκατὸν ἕκαστον πρὸς ἑαυτὸν τρεῖς· ἐλθόντας δὲ αὐτοὺς τετρακοσίους ὄντας ἐς τὸ βουλευτήριον, ἄρχειν ὅπῃ ἂν ἄριστα γιγνώσκωσιν αὐτοκράτορας, καὶ τοὺς πεντακισχιλίους δὲ ξυλλέγειν ὁπόταν αὐτοῖς δοκῇ.

2 Schol. Arist. Lysistr. 421 (RL; exscr. Suid. s. v. πρόβουλοι) πρόβουλοι πρὸς τοῖς οὖσι δέκα (πρὸς τοῖσδε omisso οὖσι RL; πρὸς τοῖς οὖσι Suid.; corr. H. Valesius) ᾑρέθησαν ἄλλοι κ̄, εἰσηγησόμενοι τὰ δοκοῦντα βέλτιστα τῇ πολιτείᾳ μετὰ τὴν ἐν τῇ Σικελίᾳ συμφοράν.

XXX. οἱ μὲν οὖν αἱρεθέντες ταῦτα συνέγραψαν. κυρωθέντων δὲ p. 12
τούτων εἵλοντο σφῶν αὐτῶν οἱ πεντακισχίλιοι τοὺς ἀναγράψοντας τὴν πολι-
τείαν ἑκατὸν ἄνδρας. οἱ δ' αἱρεθέντες ἀνέγραψαν καὶ ἐξήνεγκαν τάδε.
βουλεύειν μὲν κατ' ἐνιαυτὸν τοὺς ὑπὲρ τριάκοντα ἔτη γεγονότας ἄνευ 2
μισθοφορᾶς· τούτων δ' εἶναι τοὺς στρατηγοὺς καὶ τοὺς ἐννέα ἄρχοντας καὶ
τὸν ἱερομνήμονα καὶ τοὺς ταξιάρχους καὶ ἱππάρχους καὶ φυλάρχους καὶ
ἄρχοντας εἰς τὰ φρούρια καὶ ταμίας τῶν ἱερῶν χρημάτων τῇ θε[ῷ] καὶ
τοῖς ἄλλοις θεοῖς δέκα καὶ ἑλληνοταμίας καὶ τῶν ἄλλων ὁσίων χρημάτων
ἁπάντων εἴκοσιν οἳ διαχειριοῦσιν καὶ ἱεροποιοὺς καὶ ἐπιμελητὰς δέκα ἑκα-
τέρους· αἱρεῖσθαι δὲ πάντας τούτους ἐκ προκρίτων, ἐκ τῶν ἀεὶ βουλευόντων
πλείους προκρίνοντας, τὰς δ' ἄλλας ἀρχὰς ἁπάσας κληρωτὰς εἶναι καὶ μὴ
ἐκ τῆς βουλῆς· τοὺς δὲ ἑλληνοταμίας οἳ ἂν διαχειρίζωσι τὰ χρήματα μὴ
συμβουλεύειν. βουλὰς δὲ ποιῆσαι τέτταρας ἐκ τῆς ἡλικίας τῆς εἰρημένης 3
εἰς τὸν λοιπὸν χρόνον, καὶ τούτων τὸ λαχὸν μέρος βουλεύειν, νεῖμαι δὲ
καὶ τοὺς ἄλλους πρὸς τὴν λῆξιν ἑκάστην· τοὺς δ' ἑκατὸν ἄνδρας διανεῖμαι
σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους τέτταρα μέρη ὡς ἰσαίτατα καὶ διακληρῶσαι,
καὶ εἰς ἐνιαυτὸν βουλεύειν. ⟨βουλεύεσθαι⟩ δὲ ᾗ ἂν δοκῇ αὐτοῖς ἄριστα 4
ἕξειν περί τε τῶν χρημάτων, ὅπως ἂν σῶα ᾖ καὶ εἰς τὸ δέον ἀναλίσκηται,
καὶ περὶ τῶν ἄλλων ὡς ἂν δύνωνται ἄριστα· κἄν τι θέλωσιν βουλεύσασθαι
μετὰ πλειόνων, ἐπεισκαλεῖν ἕκαστον ἐπείσκλητον ὃν ἂν ἐθέλῃ τῶν ἐκ τῆς
αὐτῆς ἡλικίας· τὰς δ' ἕδρας ποιεῖν τῆς βουλῆς κατὰ πενθήμερον, ἐὰν μὴ
δέωνται πλειόνων. κληροῦν δὲ τὴν βουλὴν τοὺς ἐννέα ἄρχοντας, τὰς δὲ
χειροτονίας κρίνειν πέντε τοὺς λαχόντας ἐκ τῆς βουλῆς, καὶ ἐκ τούτων ἕνα
κληροῦσθαι καθ' ἑκάστην ἡμέραν τὸν ἐπιψηφιοῦντα. κληροῦν δὲ τοὺς 5
λαχόντας πέντε τοὺς ἐθέλοντας προσελθεῖν ἐναντίον τῆς βουλῆς, πρῶτον
μὲν ἱερῶν, δεύτερον δὲ κήρυξιν, τρίτον πρεσβείαις, τέταρτον τῶν ἄλλων· τὰ
δὲ τοῦ πολέμου ὅταν δέῃ ἀκληρωτὶ προσαγαγόντας τοὺς στρατηγοὺς χρη-
ματίζεσθαι. τὸν δὲ μὴ ἰόντα εἰς τὸ βουλευτήριον τῶν βουλευόντων τὴν 6
ὥραν τὴν προρρηθεῖσαν ὀφείλειν δραχμὴν τῆς ἡμέρας ἑκάστης, ἐὰν μὴ
εὑρισκόμενος ἄφεσιν τῆς βουλῆς ἀπῇ. |

XXXI. ταύτην μὲν οὖν εἰς τὸν μέλλοντα χρόνον ἀνέγραψαν τὴν p. 13
πολιτείαν, ἐν δὲ τῷ παρόντι καιρῷ τήνδε· βουλεύειν μὲν τετρακοσίους κατὰ

---

7 θεῷ] vestigia litterae tertiae ω vel α aeque apta sunt 12 ἂν] εαν L 17 δουλευειν L βουλεύεσθαι] ita S (βουλεύειν ego antea); ⟨τοὺς λαχόντας. βουλεύεσθαι⟩ Bl, ⟨τοὺς λαχόντας. πράττειν⟩ K-W, alia alii 18 σωα L αναλισκεται L*, corr. L[1] 19 κἄν] εαν L, ἐὰν δὲ J. B. Mayor, al. 20 επεισεκλητον L*, κ alterum super κλ scr. L[1] 21 κ(αι) L*, κ(ατα) L[1] πενθημιμερον L 25 post βουλης, βουλας δε ποιησαι τετταρας (e l. 13) repetivit L*, corr. inter scribendum L[1] 26 πρεσβειαι L 29 προρηθεισαν L 31 hic incipit scriba alter (L[2]) ις το L*, corr. L[4] ανεγραψαν bis scr. L*, corr L[4?] 32 πολιτιαν L

---

8 Harpocr. s. v. Ἑλληνοταμίαι: .... ὅτι ἀρχή τις ἦν οἱ Ἑλληνοταμίαι, οἳ διεχείριζον τὰ χρήματα, καὶ Ἀριστοτέλης δηλοῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ ... (Epitomen exscr. Suidas!!).

21 Hesych. ἕδραι: ἕδραι βουλῆς, αἳ ἐγίνοντο κατὰ πενταήμερον.

τὰ πάτρια, τετταράκοντα ἐξ ἑκάστης φυλῆς, ἐκ προκρίτων [ο]ὓς ἂν ἕλωνται p. 13
οἱ φυλέται τῶν ὑπὲρ τριάκοντα ἔτη γεγονότων. τούτους δὲ τάς τε ἀρχὰς
καταστῆσαι καὶ περὶ τοῦ ὅρκου ὅντινα χρὴ ὀμόσαι γράψαι, ⟨καὶ⟩ περὶ τῶν
νόμων καὶ τῶν εὐθυ[νῶ]ν καὶ τῶν ἄλλων πράττειν ᾗ ἂν ἡγῶνται συμφέρειν.
τοῖς δὲ νόμοις οἳ ἂν τεθῶσιν περὶ τῶν πολιτικῶν χρῆσθαι καὶ μὴ ἐξεῖναι 2
μετακινεῖν μηδ' ἑτέρους θέσθαι. τῶν δὲ στρατηγῶν τὸ νῦν εἶναι τὴν
αἵρεσιν ἐξ ἁπάντων ποιεῖσθαι τῶν πεντακισχιλίων, τὴν δὲ βουλὴν ἐπειδὰν
καταστῇ ποιήσασαν ἐξέτασιν ⟨ἐν⟩ ὅπλοις ἑλέσθαι δέκα ἄνδρας καὶ γραμματέα
τούτοις, τοὺς δὲ αἱρεθέντας ἄρχειν τὸν εἰσιόντα ἐνιαυτὸν αὐτοκράτορας, καὶ
ἄν τι δέωνται συμβουλεύεσθαι μετὰ τῆς βουλῆς. ἑλέσθαι δὲ καὶ ἵππαρχον 3
ἕνα καὶ φυλάρχους δέκα· τὸ δὲ λοιπὸν τὴν αἵρεσιν ποιεῖσθαι τούτων τὴν
βουλὴν κατὰ τὰ γεγραμμένα. τῶν δ' ἄλλων ἀρχῶν πλὴν τῆς βουλῆς καὶ
τῶν στρατηγῶν μὴ ἐξεῖναι μήτε τούτοις μήτε ἄλλῳ μηδενὶ πλέον ἢ ἅπαξ
ἄρξαι τὴν αὐτὴν ἀρχήν. εἰς δὲ τὸν ἄλλον χρόνον, ἵνα νεμηθῶσιν οἱ τετρα-
κόσιοι εἰς τὰς τέτταρας λήξεις, ὅταν † τοῖς ἀστοῖς γίγνηται μετὰ τῶν
ἄλλων βουλεύειν, διανειμάντων αὐτοὺς οἱ ἑκατὸν ἄνδρες.

XXXII. οἱ μὲν οὖν ἑκατὸν οἱ ὑπὸ τῶν πεντακισχιλίων αἱρεθέντες
ταύτην ἀνέγραψαν τὴν πολιτείαν. ἐπικυρωθέντων δὲ τούτων ὑπὸ τοῦ
πλήθους, ἐπιψηφίσαντος Ἀριστομάχου, ἡ μὲν βουλὴ ⟨ἡ⟩ ἐπὶ Καλλίου πρὶν
διαβουλεῦσαι κατελύθη μηνὸς Θαργηλιῶνος τετράδι ἐπὶ δέκα, οἱ δὲ τετρα-
κόσιοι εἰσῄεσαν ἐνάτῃ φθίνοντος Θαργηλιῶνος. ἔδει δὲ τὴν εἰληχυῖαν τῷ
κυάμῳ βουλὴν εἰσιέναι δ̄ ἐπὶ δέκα Σκιροφοριῶνος. ἡ μὲν οὖν ὀλιγαρχία 2
τοῦτον κατέστη τὸν τρόπον ἐπὶ Καλλίου μὲν ἄρχοντος, ἔτεσιν δ' ὕστερον
τῆς τῶν τυράννων ἐκβολῆς μάλιστα ἑκατόν, αἰτίων μάλιστα γενομένων
Πεισάνδρου καὶ Ἀντιφῶντος καὶ Θηραμένους, ἀνδρῶν καὶ γεγενημένων εὖ
καὶ συνέσει καὶ γνώμῃ δοκούντων διαφέρειν. γενομένης | δὲ ταύτης p. 14
τῆς πολιτείας οἱ μὲν πεντακισχίλιοι λόγῳ μόνον ᾑρέθησαν, οἱ δὲ τετρα- 3
κόσιοι μετὰ τῶν δέκα τῶν αὐτοκρατόρων εἰσελθόντες εἰς τὸ βουλευτήριον
ἦρχον τῆς πόλεως, καὶ πρὸς Λακεδαιμονίους πρεσβευσάμενοι κατελύοντο τὸν

---

1 τεπαρακοντα L*, corr. L^4 ελονται L*, corr. L^4 3 του om. L*, suprascr. L^4 4 εαν L 5 πολειτικων L 6 μετακεινειν L τον νυν L*, corr. L^4 7 επιδαν L*, ε suprascr. L^4 8 καταστησηι (ι add. L^4?) L ἐν add. Wyse, cett.: ὅπλων ego antea 9 ισιοντα L*, ε suprascr. L^4 10 δεονται L*, corr. L^4 συνβ- L 11 τα (το L^4) δε το L 12 πλὴν] πριν L 13 μητενι L*, corr. L^4 πλιον L*, ε (i. e. πλεῖον) suprascr. L^4; πλέον scr. (Meisterhans^3, p. 152) 14 ις L*, ε suprascr. L^4, item l. 15 15 τοῖς ἀστοῖς] fortasse αὐτοῖς legendum ηγνηται L*, corr. L^4 16 διανιμαντων L*, ε suprascr. L^4 ανδδρεις L 18 πολιτιαν L 19 ἡ add. Rutherford, al. 20 δ επι δεκα L*, τετραδι pro δ suprascr. L^4 21 φθεινοντος L ἔδει] ετι L ιληχυιαν, L*, ε suprascr. L^4 22 ισιεναι L*, ει suprascr. L^4 23 καλιου L*, λ suprascr. L^4 25 πετισανδρου L*, ε (scil. pro ετ) suprascr. L^4 27 πολειτιας L ηρεθησαν bis scr. L*, altero loco delevit, punctis superpositis, in primo autem ι post η inseruit, tum εφη super ηιρη suprascr. L^2, ut vid. οἱ] ο L 28 ις L*, ε suprascr. L^4 29 πολεας L*, corr. L^4

πόλεμον ἐφ' οἷς ἑκάτεροι τυγχάνουσιν ἔχοντες. οὐχ ὑπακουόντων δ' ἐκείνων p. 14 εἰ μὴ καὶ τὴν ἀρχὴν τῆς θαλάττης ἀφήσουσιν, οὕτως ἀπέστησαν.

XXXIII. μῆνας μὲν οὖν ἴσως τέτταρας διέμεινεν ἡ τῶν τετρακοσίων 1 πολιτεία, καὶ ἦρξεν ἐξ αὐτῶν Μνασίλοχος δίμηνον ἐπὶ Θεοπόμπου ἄρχοντος, ⟨ὃς⟩ ἦρξε τοὺς ἐπιλοίπους δέκα μῆνας. ἡττηθέντες δὲ τῇ περὶ Ἐρέτριαν ναυμαχίᾳ καὶ τῆς Εὐβοίας ἀποστάσης ὅλης πλὴν Ὠρεοῦ, χαλεπῶς ἐνεγκόντες ἐπὶ τῇ συμφορᾷ μάλιστα τῶν προγεγενημένων (πλείω γὰρ ἐκ τῆς Εὐβοίας ἢ τῆς Ἀττικῆς ἐτύγχανον ὠφελούμενοι) κατέλυσαν τοὺς τετρακοσίους καὶ τὰ πράγματα παρέδωκαν τοῖς πεντακισχιλίοις τοῖς ἐκ τῶν ὅπλων, ψηφισάμενοι μηδεμίαν ἀρχὴν εἶναι μισθοφόρον. αἰτιώτατοι δ' ἐγένοντο τῆς 2 καταλύσεως Ἀριστοκράτης καὶ Θηραμένης, οὐ συναρεσκόμενοι τοῖς ὑπὸ τῶν τετρακοσίων γιγνομένοις· ἅπαντα γὰρ δι' αὐτῶν ἔπραττον, οὐδὲν ἐπαναφέροντες τοῖς πεντακισχιλίοις. δοκοῦσι δὲ καλῶς πολιτευθῆναι κατὰ τούτους τοὺς καιρούς, πολέμου τε καθεστῶτος καὶ ἐκ τῶν ὅπλων τῆς πολιτείας οὔσης.

XXXIV. τούτους μὲν οὖν ἀφείλετο τὴν πολιτείαν ὁ δῆμος διὰ τάχους· 1 ἔτει δ' ἑβδόμῳ μετὰ τὴν τῶν τετρακοσίων κατάλυσιν, ἐπὶ Καλλίου τοῦ Ἀγγελῆθεν ἄρχοντος, γενομένης τῆς ἐν Ἀργινούσσαις ναυμαχίας, πρῶτον μὲν τοὺς δέκα στρατηγοὺς τοὺς τῇ ναυμαχίᾳ νικῶντας συνέβη κριθῆναι μιᾷ χειροτονίᾳ πάντας, τοὺς μὲν οὐδὲ συνναυμαχήσαντας, τοὺς δ' ἐπ' ἀλλοτρίας νεὼς σωθέντας, ἐξαπατηθέντος τοῦ δήμου διὰ τοὺς παροργίσαντας· ἔπειτα βουλομένων Λακεδαιμονίων ἐκ Δεκελείας ἀπιέναι καὶ ἐφ' οἷς ἔχουσιν ἑκάτεροι εἰρήνην ἄγειν ἔνιοι μὲν ἐσπούδαζον, τὸ δὲ πλῆθος | οὐχ ὑπήκουσεν p. 15

---

1 τ|η (vel ισ) χανουσιν L*, υγ fine prioris versus scr. L⁴, et η delevit, ita ut maneat τυγ|χανουσιν   ουχ L   4 πολιτια L   μνασιμαχος L*. corr. L²   5. 6 τη . . . ναυμαχια L*, ι bis add. L⁴   6 πρην L*, corr. L⁴   ωριου L   ἐνενκοντες L*, corr. L⁴   7 τη συμφορα L*, ι add. L⁴   9 παρεδεδωκαν L*, corr. L?   10 μιστ (σθ suprascr. L²?) οφορων L; μισθοφόρον J. B. Mayor, al.   12 τετρακοσιος L*, corr. L⁴   γενομενοις L*, γει— L²   14 δε κατεστωτος L*, corr. L⁴   14. 15 πολιτιας L   16 ο(υν) om. L*, suprascr. L⁴   πολιτιαν L   ο δημος om. L*, suprascr. L⁴   17 ετι L   ἑβδόμῳ] ita L, sed praestat ἕκτῳ legere   με L*, τα suprascr. L⁴   18 ανγεληθεν L*, αγγ- L⁴   αργινουσας L*, -ουσσαις L⁴   19 post νικωντας (ας rescr. L⁴) τους δολι L*, sed corr inter scribendum L²   20 χιρονονια L*, corr. L⁴   21 νεος L*, corr. L⁴   εξαπατηθεντες L   επιτα L   22 ανιεναι L, απ- schol. Arist. Ran. 1532   ἐφ' οἷς ἔχ. ἑκ. καὶ εἰρ. ἄγειν K-W, Bl e schol. (v. testim.)   23 ιρηνην εκατεροι L   αγιν L*, ε suprascr. L⁴

---

3 Harpocr. s. v. τετρακόσιοι: ... οἱ τετρακόσιοι πρὸ ἑπτὰ ἐτῶν κατέστησαν τῶν λ̄ τυράννων παρ' Ἀθηναίοις, οἵτινες τέτταρας μῆνας ἦρξαν τῆς πόλεως, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ (Epitomen exscr. Phot. Suid.).

22 Schol. Ar. Ran. 1532 (V, dett.) Κλεοφῶν δὲ μαχέσθω] παρόσον ὡς Ἀριστοτέλης φησί, μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι ἐφ' οἷς ἔχουσιν ἑκάτεροι καὶ εἰρήνην ἄγειν ἐπὶ τοῦ Καλλίου, Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι, ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκώς, οὐ φάσκων ἐπιτρέψειν, ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι.

ἐξαπατηθέντες ὑπὸ Κλεοφῶντος, ὃς ἐκώλυσε γενέσθαι τὴν εἰρήνην ἐλθὼν p. 15
εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκώς, οὐ φάσκων ἐπιτρέψειν,
ἐὰν μὴ πάσας ἀφιῶσι Λακεδαιμόνιοι τὰς πόλεις. οὐ χρησάμενοι δὲ 2
καλῶς τότε τοῖς πράγμασι μετ' οὐ πολὺν χρόνον ἔγνωσαν τὴν ἁμαρτίαν.
τῷ γὰρ ὕστερον ἔτει ἐπ' Ἀλεξίου ἄρχοντος ἠτύχησαν τὴν ἐν Αἰγὸς ποτα-
μοῖς ναυμαχίαν, ἐξ ἧς συνέβη κύριον γενόμενον τῆς πόλεως Λύσανδρον
καταστῆσαι τοὺς τριάκοντα τρόπῳ τοιῷδε. τῆς εἰρήνης γενομένης αὐτοῖς 3
ἐφ' ᾧ τε πολιτεύσονται τὴν πάτριον πολιτείαν, οἱ μὲν δημοτικοὶ διασῴζειν
ἐπειρῶντο τὸν δῆμον, τῶν δὲ γνωρίμων οἱ μὲν ἐν ταῖς ἑταιρείαις ὄντες καὶ
τῶν φυγάδων οἱ μετὰ τὴν εἰρήνην κατελθόντες ὀλιγαρχίας ἐπεθύμουν, οἱ δ'
ἐν ἑταιρείᾳ μὲν οὐδεμιᾷ συγκαθεστῶτες [ἄ]λλως δὲ δοκοῦντες οὐδενὸς ἐπι-
λείπεσθαι τῶν πολιτῶν τὴν πάτριον πολιτείαν ἐζήτουν· ὧν ἦν μὲν καὶ
Ἀρχῖνος καὶ Ἄνυτος καὶ Κλειτοφῶν καὶ Φορμίσιος καὶ ἕτεροι πολλοί, προ-
ειστήκει δὲ μάλιστα Θηραμένης. Λυσάνδρου δὲ προσθεμένου τοῖς ὀλιγαρχικοῖς
καταπλαγεὶς ὁ δῆμος ἠναγκάσθη χειροτονεῖν τὴν ὀλιγαρχίαν. ἔγραψε δὲ τὸ
ψήφισμα Δρακοντίδης Ἀφιδναῖος.
XXXV. οἱ μὲν οὖν τριάκοντα τοῦτον τὸν τρόπον κατέστησαν ἐπὶ 1
Πυθοδώρου ἄρχοντος. γενόμενοι δὲ κύριοι τῆς πόλεως τὰ μὲν ἄλλα τὰ
δόξαντα περὶ τῆς πολιτείας παρεώρων, πεντακοσίους δὲ βουλευτὰς καὶ τὰς
ἄλλας ἀρχὰς καταστήσαντες ἐκ προκρίτων ἐκ τῶν χιλίων, καὶ προσελόμενοι
σφίσιν αὐτοῖς τοῦ Πειραιέως ἄρχοντας δέκα καὶ τοῦ δεσμωτηρίου φύλακας
ἕνδεκα καὶ μαστιγοφόρους τριακοσίους ὑπηρέτας κατεῖχον τὴν πόλιν δι'
ἑαυτῶν. τὸ μὲν οὖν πρῶτον μέτριοι τοῖς πολίταις ἦσαν καὶ προσε- 2
ποιοῦντο διοικεῖν τὴν πάτριον πολιτείαν, καὶ τούς τ' Ἐφιάλτου καὶ Ἀρχε-

1 εξαπαθηθ- L*, corr. L[3] ιρηνην .. ις L*, corr. L[4] 2 επιτρεψει L*, ν suprascr. L[4] 3 ἀφῶσι K-W, H-L, al., e schol. 5 τω L*, ι suprascr. L[4] ετι L*, ε suprascr. L[4] 7 τροπω τοιωδε L*, ι bis suprascr. L[4] ιρηνης L*, corr. L[4] 8 ω L πολιτιαν L διασωζειν L*, σ super ζ scr. L[4] 9 επιροντο L*, corr. L[4] εταιριαις L*, corr. L[4] 10 μετην L*, corr. L[4] ιρηνην L ολιγαρχιαν L 11 εταιρεια L*, ι add. L[4] ουδεμια L συνκ- L α]λλως L (α amissum in junctione paginarum), non αλως (K-W, Bl) 11. 12 επιλιπεσθαι L 12 πολιτιαν L 13 αλλυτος L*; λ primum in ν corr. L[4], alterum non delevit κλιτοφων L 13. 14 προιστηκι L*, -κει L[4] 15 ηνανκασθη L 17 κατεστησε L 18 πολεος L*, corr. L[4] 19 πολιτιας L*, corr. L[4] 21 πιραιως L*, -εως L[4] δεσμωριου L*, corr. L[4] 22 κατιχον L*, ε suprascr. L[4] 24 διώκειν K-W, H-L, Bl, S, e p. 15,12; non tamen nunc petere sed habere antiquam civitatem prae se ferebant; cf. p. 30,10 πολιτιαν L τος τ εφιαλλτου L*, corr. L[2]

15 Schol. Arist. Vesp. 157 (V, dett.) Δρακοντίδης] πονηρὸς οὗτος καὶ πλείσταις καταδίκαις ἐνεχόμενος, ὡς Πλάτων Σοφισταῖς. Καλλίστρατος δὲ ἕνα τῶν λ̅ φησίν, εἰ μὴ ὁμώνυμος. ἔστι γὰρ οὗτος ὁ καὶ τὸ περὶ τῶν λ̅ ψήφισμα περὶ ὀλιγαρχίας γράψας, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις.

21 Lex. Bekk. quintum (BA 235,31) δέκα τίνες εἰσίν· δέκα ἦσάν τινες ἐμ Πειραεῖ, οἱ ἄρξαντες κατὰ τὴν τυραννίδα τῶν τριάκοντα. ἀλλὰ καὶ προσέταξαν αὐτοῖς εὐθύνας τῆς ἀρχῆς δοῦναι.

στράτου νόμους τοὺς περὶ τῶν Ἀρεοπαγιτῶν καθεῖλον ἐξ Ἀρείου πάγο[υ] p.15
καὶ τῶν Σόλωνος θεσμῶν ὅσοι διαμφισβητήσεις εἶχον, καὶ τὸ κῦρος ὃ ἦν
ἐν τοῖς δικασταῖς κατέλυσαν, ὡς ἐπανορθοῦντες καὶ ποιοῦντες ἀναμφισβήτητον
τὴν πολιτείαν· οἷον | περὶ τοῦ δοῦναι τὰ ἑαυτοῦ ᾧ ἂν ἐθέλῃ κύριον ποιή- p. 16
σαντες καθάπαξ, τὰς δὲ προσούσας δυσκολίας 'ἐὰν μὴ μανιῶν ἢ γηρῶν ἢ
γυναικὶ πιθόμενος' ἀφεῖλον, ὅπως μὴ ᾖ τοῖς συκοφάνταις ἔφοδος· ὁμοίως
δὲ τοῦτ' ἔδρων καὶ ἐπὶ τῶν ἄλλων. κατ' ἀρχὰς μὲν οὖν ταῦτ' ἐποίουν 3
καὶ τοὺς συκοφάντας καὶ τοὺς τῷ δήμῳ πρὸς χάριν ὁμιλοῦντας παρὰ τὸ
βέλτιστον καὶ κακοπράγμονας ὄντας καὶ πονηροὺς ἀνῄρουν, ἐφ' οἷς ἔχαιρον
ἡ πόλις γιγνομένοις, ἡγούμενοι τοῦ βελτίστου χάριν ποιεῖν αὐτούς. ἐπεὶ 4
δὲ τὴν πόλιν ἐγκρατέστερον ἔσχον, οὐδενὸς ἀπείχοντο τῶν πολιτῶν, ἀλλ'
ἀπέκτειναν τοὺς καὶ ταῖς οὐσίαις καὶ τῷ γένει καὶ τοῖς ἀξιώμασιν προέχοντας,
ὑπεξαιρούμενοί τε τὸν φόβον καὶ βουλόμενοι τὰς οὐσίας διαρπάζειν· καὶ
χρόνου διαπεσόντος βραχέος οὐκ ἐλάττους ἀνῃρήκεσαν ἢ χιλίους πεντα-
κοσίους.

XXXVI. οὕτως δὲ τῆς πόλεως ὑποφερομένης Θηραμένης ἀγανακτῶν 1
ἐπὶ τοῖς γιγνομένοις τῆς μὲν ἀσελγείας αὐτοῖς παρῄνει παύσασθαι, μετα-
δοῦναι δὲ τῶν πραγμάτων τοῖς βελτίστοις. οἱ δὲ πρῶτον ἐναντιωθέντες,
ἐπεὶ διεσπάρησαν οἱ λόγοι πρὸς τὸ πλῆθος καὶ πρὸς τὸν Θηραμένην οἰκείως
εἶχον οἱ πολλοί, φοβηθέντες μὴ προστάτης γενόμενος τοῦ δήμου καταλύσῃ
τὴν δυναστείαν καταλέγουσιν τῶν πολιτῶν τρισχιλίους ὡς μεταδώσοντες τῆς
πολιτείας. Θηραμένης δὲ πάλιν ἐπιτιμᾷ καὶ τούτοις, πρῶτον μὲν ὅτι 2
βουλόμενοι μεταδοῦναι τοῖς ἐπιεικέσι τρισχιλίοις μόνοις μεταδιδόασι, ὡς ἐν
τούτῳ τῷ πλήθει τῆς ἀρετῆς ὡρισμένης, ἔπειθ' ὅτι δύο τὰ ἐναντιώτατα
ποιοῦσιν, βίαιόν τε τὴν ἀρχὴν καὶ τῶν ἀρχομένων ἥττω κατασκευάζοντες.

---

1 καθιλον ... αριου L^*, corr. L^4 2 διαμφιζβηδ(τ L^2)ησεις L ιχον L^*, ε suprascr. L^4 3 ανανφιζβητητον L 4 πολιτιαν L οιων L^*, corr. L^4 ω . . εθελη L 5 καθαπαντας L^*, corr. L^4 δυσνολιας L^*, corr. L^4 6 αφιλον L η L 7 εδρον L^*, corr. L^4 τατ L^*, corr. L^4 8 τω δημω L^*, ι bis add. L^4 ομιλουντας L^*, ε suprascr. L^4 9 ανηρουν L ἔχαιρεν K-W, S 10 επι L 11 ενκρ- L εχον L^*, corr. L^4 12 ἀπέκτειναν] cf. Thuc. VIII 70; ἀπέκτεινον Bl, edd. cett. ουσιας L^*, corr. L^2 τω L^*, ι add. L^4 προεχοντες L^*, corr. L^4 13 υποεξαιρουμενοι L 14 ανηρ- L 16 πολεος L^*, corr. L^4 17 γινομενοις L παρηνει L 18 πρωτοι L 19 επι L^*, corr. L^4 θηρομενην L^*, corr. L^4 20 γεναμενος L^*, corr. L^4 21 δισχιλιους L, sed cf. l. 23 22 πολειτιας L 23 επιικεσι L^*, corr. L^4 τρισχιλιος L^*, corr. L^4 24 τουτω τω L^*, ι bis add. L^4 επιθ L 25 ηντω L^*, corr. L^4 μετασκευαζοντες L^*, corr. L^2

---

22 Xen. Hell. II 3,19 ὁ δ' αὖ Θηραμένης καὶ πρὸς ταῦτα ἔλεγεν ὅτι ἄτοπον δοκοίη ἑαυτῷ γε εἶναι τὸ πρῶτον μὲν βουλομένους τοὺς βελτίστους τῶν πολιτῶν κοινωνοὺς ποιήσασθαι τρισχιλίους, ὥσπερ τὸν ἀριθμὸν τοῦτον ἔχοντά τινα ἀνάγκην καλοὺς κἀγαθοὺς εἶναι, καὶ οὔτ' ἔξω τούτων σπουδαίους οὔτ' ἐντὸς τούτων πονηροὺς οἷόν τε εἴη γενέσθαι· ἔπειτα δ', ἔφη, ὁρῶ ἔγωγε δύο ἡμᾶς τὰ ἐναντιώτατα πράττοντας, βιαίαν τε τὴν ἀρχὴν καὶ ἥττονα τῶν ἀρχομένων κατασκευαζομένους.

οἱ δὲ τούτων μὲν ὠλιγώρησαν, τὸν δὲ κατάλογον τῶν τρισχιλίων πολὺν p. 16 μὲν χρόνον ὑπερεβάλλοντο καὶ παρ' αὑτοῖς ἐφύλαττον τοὺς ἐγνωσμένους, ὅτε δὲ καὶ δόξειεν αὐτοῖς ἐκφέρειν τοὺς μὲν ἐξήλειφον τῶν ⟨ἐγ⟩γεγραμμένων, τοὺς δ' ἀντενέγραφον τῶν ἔξωθεν.

XXXVII. ἤδη δὲ τοῦ χειμῶνος ἐνεστῶτος, καταλαβόντος Θρασυβούλου 1 μετὰ τῶν φυγάδων Φυλήν, καὶ κατὰ τὴν στρατιὰν ἣν ἐξήγαγον οἱ τριάκοντα κακῶς ἀποχωρήσαντες, ἔγνωσαν τῶν μὲν ἄλλων τὰ ὅπλα παρελέσθαι, Θηραμένην δὲ διαφθεῖραι τόνδε ⟨τὸν⟩ τρόπον. νόμους εἰσήνεγκαν εἰς τὴν βουλὴν δύο κελεύοντες | ἐπιχειροτονεῖν, ὧν ὁ μὲν εἰς αὐτοκράτορας p. 17 ἐποίει τοὺς τριάκοντα τῶν πολιτῶν ἀποκτεῖναι τοὺς μὴ τοῦ καταλόγου μετέχοντας τῶν τρισχιλίων, ὁ δ' ἕτερος ἐκώλυε κοινωνεῖν τῆς παρούσης πολιτείας ὅσοι τυγχάνουσιν τὸ ἐν Ἠετιωνείᾳ τεῖχος κατασκάψαντες ἢ τοῖς τετρακοσίοις ἐναντίον τι πράξαντες [ἢ] τοῖς κατασκευάσασι τὴν προτέραν ὀλιγαρχίαν· ὧν ἐτύγχανεν ἀμφοτέρων κεκοινωνηκὼς ὁ Θηραμένης, ὥστε συνέβαινεν ἐπικυρωθέντων τῶν νόμων ἔξω τε γίγνεσθαι τῆς πολιτείας αὐτὸν καὶ τοὺς τριάκοντα κυρίους εἶναι θανατοῦντας. ἀναιρεθέντος δὲ Θηρα- 2 μένους τά τε ὅπλα παρείλοντο πάντων πλὴν τῶν τρισχιλίων καὶ ἐν τοῖς ἄλλοις πολὺ πρὸς ὠμότητα καὶ πονηρίαν ἐπέδοσαν. πρέσβεις ⟨δὲ⟩ πέμψαντες εἰς Λακεδαίμονα τοῦ τε Θηραμένους κατηγόρουν καὶ βοηθεῖν αὐτοῖς ἠξίουν· ὧν ἀκούσαντες οἱ Λακεδαιμόνιοι Καλλίβιον ἀπέστειλαν ἁρμοστὴν καὶ στρατιώτας ὡς ἑπτακοσίους, οἳ τὴν ἀκρόπολιν ἐλθόντες ἐφρούρουν.

XXXVIII. μετὰ δὲ ταῦτα καταλαβόντων τῶν ἀπὸ Φυλῆς τὴν Μουνιχίαν 1 καὶ νικησάντων μάχῃ τοὺς μετὰ τῶν τριάκοντα βοηθήσαντας, ἐπαναχωρήσαντες μετὰ τὸν κίνδυνον οἱ ἐκ τοῦ ἄστεως καὶ συναθροισθέντες εἰς τὴν ἀγορὰν τῇ ὑστεραίᾳ τοὺς μὲν τριάκοντα κατέλυσαν, αἱροῦνται δὲ δέκα τῶν πολιτῶν αὐτοκράτορας ἐπὶ τὴν τοῦ πολέμου κατάλυσιν. οἱ δὲ παραλαβόντες τὴν ἀρχὴν ἐφ' οἷς μὲν ᾑρέθησαν οὐκ ἔπραττον, ἔπεμπον δ' εἰς Λακεδαίμονα

2 υπερβαλλοντο L   εγνωζμενους L*, corr. L^4 3 δοξιεν L*, corr. L^4 εξηλιφον L*, corr. L^4 εγγεγραμμένων H-L, K-W, Bl, S   5 χιμωνος L   6 στρατείαν K-W   7 παριεσθα L*, ε suprascr. et ι add. L^4 8 διαφθιραι L   ιστηνενκαν ις L*, corr. L^4 9 ις L   10 αποκτιναι L   12 πολιτιας L   οσσοι τυνχανουσιν L   ηετιωνια τιχος L*, corr. L^4 13 ἢ del. Hude, edd. cett.   14 ον L*, corr. L^4 ετυνχανεν L*, corr. L^4 θηρομενης L*, corr. L^4 15 γιγνεσται L*, corr. L^4 πολιτιας L   16 ιναι L*, corr. L^4 17 πριν L*, corr. L^4 18 δὲ suppl. J. B. Mayor, al.; lacunam ante πρεσβεῖς indicant K-W, S   19 ις L*, corr. L^4 τουσε L*, corr. L^4 20 απεστιλαν L*, corr. L^4 22 μουνυχιαν L   23 μαχη L   24 αστεος (pr. -υος) L*, corr. L^4 συνασθροισθεντες L   ις L*, corr. L^4 25 τη υστεραια L   δε om. L*, suprascr. L^4 27 εν οις L   ηρεθ- L   ἔπεμπον] lectio non certa sed probabilis   ις L*, corr. L

25 Lex. Bekk. quintum (BA V 236,1) s. v. δέκα: . . . . . μὴ ἀγνοῶμεν δέ, ὅτι ἕτεροί εἰσιν ῑ, οὓς Ἀθηναῖ⟨οι⟩ εἵλοντο μετὰ τὴν τῶν λ̄ κατάλυσιν (κατασταθέντες cod., corr. Bekker).

βοήθειαν μεταπεμπόμενοι καὶ χρήματα δανειζόμενοι. χαλεπῶς δὲ φερόν- 2
των ἐπὶ τούτοις τῶν ἐν τῇ πολιτείᾳ, φοβούμενοι μὴ καταλυθῶσιν τῆς ἀρχῆς p. 17
καὶ βουλόμενοι καταπλῆξαι τοὺς ἄλλους (ὅπερ ἐγένετο), συλλαβόντες [Δ]η-
μάρετον οὐδενὸς ὄντα δεύτερον τῶν πολιτῶν ἀπέκτειναν, καὶ τὰ πράγματα
βεβαίως εἶχον, συναγωνιζομένου Καλλιβίου τε καὶ τῶν Πελοποννησίων τῶν
παρόντων καὶ πρὸς τούτοις ἐνίων τῶν ἐν τοῖς ἱππεῦσι. τούτων γάρ τινες
μάλιστα τῶν πολιτῶν ἐσπούδαζον μὴ κατελθεῖν τοὺς ἀπὸ Φυλῆς. ὡς δ' 3
οἱ τὸν Πειραιέα καὶ τὴν Μουνιχίαν ἔχοντες, ἀποστάντος ἅπαντος τοῦ δήμου
πρὸς αὐτούς, ἐπεκράτουν τῷ πολέμῳ, τότε καταλύσαντες τοὺς δέκα τοὺς
πρώτους αἱρεθέντας ἄλλους εἵλοντο δέκα τοὺς βελτίστους εἶναι δοκοῦντας,
ἐφ' ὧν συνέβη καὶ τὰς διαλύσεις | γενέσθαι καὶ κατελθεῖν τὸν δῆμον, συνα- p. 18
γωνιζομένων καὶ προθυμουμένων τούτων. προειστήκεσαν δ' αὐτῶν μάλιστα
Ῥίνων τε ὁ Παιανιεὺς καὶ Φάυλλος ὁ Ἀχερδούσιος· οὗτοι γὰρ πρίν τε
Παυσανίαν [τ'] ἀφικέσθαι διεπέμποντο πρὸς τοὺς ἐν Πειραιεῖ καὶ ἀφικομένου
συνεσπούδασαν τὴν κάθοδον. ἐπὶ πέρας γὰρ ἤγαγε τὴν εἰρήνην καὶ τὰς 4
διαλύσεις Παυσανίας ὁ τῶν Λακεδαιμονίων βασιλεὺς μετὰ τῶν δέκα διαλλα-
κτῶν τῶν ὕστερον ἀφικομένων ἐκ Λακεδαίμονος, οὓς αὐτὸς ἐσπούδασεν ἐλθεῖν.
οἱ δὲ περὶ τὸν Ῥίνωνα διά τε τὴν εὔνοιαν τὴν εἰς τὸν δῆμον ἐπῃνέθησαν,
καὶ λαβόντες τὴν ἐπιμέλειαν ἐν ὀλιγαρχίᾳ τὰς εὐθύνας ἔδοσαν ἐν δημοκρατίᾳ,
καὶ οὐδεὶς οὐδὲν ἐνεκάλεσεν αὐτοῖς οὔτε τῶν ἐν ἄστει μεινάντων οὔτε τῶν ἐκ
Πειραιέως κατελθόντων, ἀλλὰ διὰ ταῦτα καὶ στρατηγὸς εὐθὺς ᾑρέθη Ῥίνων.
XXXIX. ἐγένοντο δ' αἱ διαλύσεις ἐπ' Εὐκλείδου ἄρχοντος κατὰ τὰς 1
συνθήκας τάσδε. τοὺς βουλομένους Ἀθηναίων τῶν ἐν ἄστει μεινάντων ἐξοι-
κεῖν ἔχειν Ἐλευσῖνα ἐπιτίμους ὄντας καὶ κυρίους καὶ αὐτοκράτορας ἑαυτῶν
καὶ τὰ αὑτῶν καρπουμένους. τὸ δ' ἱερὸν εἶναι κοινὸν ἀμφοτέρων, ἐπι- 2
μελεῖσθαι δὲ Κήρυκας καὶ Εὐμολπίδας κατὰ τὰ πάτρια. μὴ ἐξεῖναι δὲ
μήτε τοῖς Ἐλευσινόθεν εἰς τὸ ἄστυ μήτε τοῖς ἐκ τοῦ ἄστεως Ἐλευσινάδε
ἰέναι πλὴν μυστηρίοις ἑκατέρους. συντελεῖν δὲ ἀπὸ τῶν προσιόντων εἰς τὸ

---

1 δανιζομενοι L χαλεφως L*, corr. L^4 2 τη L*, ι add. L2? πολιτια L. μη ... βουλομενοι (3) bis scr. L*, corr. L? 4 απεκτιναν L 5 πελοποννησων L 6 παραντων L*, corr. L^4 7 ος L*, corr. L^4 8 πιραια L*, corr. L^4 μουνυχιαν L αποστατος L*, corr. L^4 9 αυτην L, corr. Bl, cett. τω πολεμω L 10 ιλοντο L*, corr. L^4 δοκουντες L*, corr. L^4 11 διαλυσις L 12 προιστηκεσαν L 13 ρινον L*, corr. L^4 παινιευς L*, corr. L2? αχερδους υιος L, corr. Bywater, cett. 13. 14 πριν η παυσανιαν τ αφ- L, corr. Richards, Herwerden 14 πιραι L*, corr. L^4 αφικνομενους L 15 ιρηνην L*, corr. L^4 17 οὓς] ις L*, corr. L^4 18 τη bis L*, corr. L^4 επηνεθ- L 19 post επιμελειαν, τας ευθ scripsisse videtur L^2, sed inter scribendum delevisse 20 αστι μιναντων L*, corr. L^4 21 πειραιως L*, corr. L^4 ηρεθηινων L*, ρ ins. L^2 22 διαλυσις L*, corr. L^4 23 αθηναιων om. L*, suprascr. L^4; del. H-L, K-W μιναντων L*, corr. L^4 24 αυτοκρατορες L*, corr. L^4 27 ελευσεινοθεν L ις L*, corr. L^4 αστεος L*, corr. L^4 ελευσειναδε L 28 in marg. ὁ εισιεν|ετει (ι dubium est) scr. L^4, quod interpretatus sum ὃ εἰσὶ ἐν ἔτει (sc. μυστήρια), Wn. autem (quem secuti sunt K-W^3, Bl^3) ὁ εισιεν huc referunt (sc. Ἐλευσῖνάδ' εἰσιέναι), ετε autem ad ἑκατέρους (neque autem quo sensu liquet, neque hae litterae prope ἑκατέρους scriptae sunt) πλὴν] πριν L ις L*, corr. L^4

συμμαχικὸν καθάπερ τοὺς ἄλλους Ἀθηναίους. ἐὰν δέ τινες τῶν ἀπι- 3
όντων οἰκίαν λαμβάνωσιν Ἐλευσῖνι, συμπείθειν τὸν κεκτημένον· ἐὰν δὲ μὴ p.18
συμβαίνωσιν ἀλλήλοις, τιμητὰς ἑλέσθαι τρεῖς ἑκάτερον, καὶ ἥντιν' ἂν οὗτοι
τάξωσιν τιμὴν λαμβάνειν. Ἐλευσινίων δὲ συνοικεῖν οὓς ἂν οὗτοι βούλωνται.
τὴν δ' ἀπογραφὴν εἶναι τοῖς βουλομένοις ἐξοικεῖν, τοῖς μὲν ἐπιδημοῦσιν ἀφ' 4
ἧς ἂν ὀμόσωσιν τοὺς ὅρκους δ[έκ]α ἡμερῶν, τὴν δ' ἐξοίκησιν εἴκοσι, τοῖς δ'
ἀποδημοῦσιν ἐπειδὰν ἐπιδημήσωσιν κατὰ ταὐτά. μὴ ἐξεῖναι δὲ ἄρχειν 5
μηδεμίαν ἀρχὴν τῶν ἐν τῷ ἄστει τὸν Ἐλευσῖνι κατοικοῦντα, πρὶν ἂν ἀπο-
γράψηται πάλιν ἐν τῷ ἄστει κατοικεῖν. τὰς δὲ | δίκας τοῦ φόνου εἶναι p. 19
κατὰ τὰ πάτρια, εἴ τίς τινα αὐτοχειρίᾳ ἔκτεινεν ἢ ἔτρωσεν. τῶν δὲ 6
παρεληλυθότων μηδενὶ πρὸς μηδένα μνησικακεῖν ἐξεῖναι πλὴν πρὸς τοὺς τριά-
κοντα καὶ τοὺς δέκα καὶ τοὺς ἕνδεκα καὶ τοὺς τοῦ Πειραιέως ἄρξαντας,
μηδὲ πρὸς τούτους, ἐὰν διδῶσιν εὐθύνας. εὐθύνας δὲ δοῦναι τοὺς μὲν
ἐν Πειραιεῖ ἄρξαντας ἐν τοῖς ἐν Πειραιεῖ, τοὺς δ' ἐν τῷ ἄστει ἐν τοῖς τὰ
τιμήματα παρεχομένοις. εἶθ' οὕτως ἐξοικεῖν τοὺς ἐθέλοντας. τὰ δὲ χρή-
ματα ἃ ἐδανείσαντο εἰς τὸν πόλεμον ἑκατέρους ἀποδοῦναι χωρίς.

XL. γενομένων δὲ τοιούτων τῶν διαλύσεων, καὶ φοβουμένων ὅσοι 1
μετὰ τῶν τριάκοντα συνεπολέμησαν, καὶ πολλῶν μὲν ἐπινοούντων ἐξοικεῖν
ἀναβαλλομένων δὲ τὴν ἀπογραφὴν εἰς τὰς ἐσχάτας ἡμέρας, ὅπερ εἰώθασιν
ποιεῖν ἅπαντες, Ἀρχῖνος συνιδὼν τὸ πλῆθος καὶ βουλόμενος κατασχεῖν
αὐτοὺς ὑφεῖλε τὰς ὑπολοίπους ἡμέρας τῆς ἀπογραφῆς, ὥστε συναναγκα-
σθῆναι μένειν πολλοὺς ἄκοντας ἕως ἐθάρρησαν. καὶ δοκεῖ τοῦτό τε 2
πολιτεύσασθαι καλῶς Ἀρχῖνος καὶ μετὰ ταῦτα γραψάμενος τὸ ψήφισμα τὸ
Θρασυβούλου παρανόμων, ἐν ᾧ μετεδίδου τῆς πολιτείας πᾶσι τοῖς ἐκ Πει-
ραιέως συγκατελθοῦσι, ὧν ἔνιοι φανερῶς ἦσαν δοῦλοι, καὶ τρίτον, ἐπεί τις

2 οικιας L*, corr. L² ελευσεινι L συνπειθειν L 3 συνβαινωσιν L εκατερων L, corr. Bury, al. 4 λαμβανεν L*, corr. L⁴ βουλονται L 5 ιναι L*, corr. L⁴ 6 ομωσωσιν L δεκα H-L, K-W ικοσι L*, corr. L⁴ 7 αποδημουσι L επιδαν L 8 τω L*, ι add. L⁴ αστι L*, corr. L⁴ 8. 9 απογραφη ψηται L*, corr. L⁴ 9 τωι om. L*, suprascr. L⁴ αστι L*, corr. L⁴ πονου L*, φονου suprascr. L⁴ 10 ι L*, corr. L⁴ αυτοχιρα εκτισι ο τρωσας L*, ε ad χιρ et τιϲ add. L⁴. idem οτ del. et ιε suprascr. αὐτοχειρίᾳ ἔκτεινεν ἢ ἔτρωσεν K-W; eadem, sed αὐτόχειρ, van Leeuwen, Bl, S 11 παρεληελυ- L (ε post η fortasse del. L²) 12 πιραιαιως L*, πιραιεως L⁴ αρξαντες L*, corr. L⁴ 14 πιραιι L*, πιραιει L⁴ (bis) αρξαντας repetivit L*, del. L⁴ δ' om. L*, suprascr. L⁴ τω αστι L*, corr. L⁴ 15 ειουτως L*, corr. L²? εξοικεν L*, corr. L⁴ ante εθελοντας suprascr. L⁴? δ, pro quo μὴ coni. Bl 16 εδανισαντο L ις L*, corr. L⁴ 17 τοιευτων L*, corr. L⁴ φοβου|νων L*, με suprascr. L⁴ 19 αναγραφην L, corr. Jackson, al. ις L*, corr. L⁴ ιωθασιν L*, corr. L⁴ 21. 22 συνανανκασθηναι L*, corr. L⁴ 24 ω L*, ι add. L²? πολιτιας L 24. 25 πιραιοις L*, -εως L⁴ 25 δουλον L*, corr. L²? επι L*, corr. L⁴

12 Lex. Bekk. quintum (BA 235,31) δέκα τίνες εἰσίν· δέκα ἦσάν τινες ἐμ Πειραεῖ, οἱ ἄρξαντες κατὰ τὴν τυραννίδα τῶν τριάκοντα. ἀλλὰ καὶ προσέταξαν αὐτοῖς εὐθύνας τῆς ἀρχῆς δοῦναι.

ἤρξατο τῶν κατεληλυθότων μνησικακεῖν ἀπαγαγὼν τοῦτον ἐπὶ τὴν βουλὴν p. 19
καὶ πείσας ἄκριτον ἀποκτεῖναι, λέγων ὅτι νῦν δείξουσιν εἰ βούλονται τὴν
δημοκρατίαν σῴζειν καὶ τοῖς ὅρκοις ἐμμένειν· ἀφέντας μὲν γὰρ τοῦτον
προτρέψειν καὶ τοὺς ἄλλους, ἐὰν δ' ἀνέλωσιν, παράδειγμα ποιήσειν ἅπασιν.
ὅπερ καὶ συνέπεσεν· ἀποθανόντος γὰρ οὐδεὶς πώποτε ὕστερον ἐμνησικάκησεν.
ἀλλὰ δοκοῦσιν κάλλιστα δὴ καὶ πολιτικώτατα ἁπάντων καὶ ἰδίᾳ καὶ κοινῇ 3
χρήσασθαι ταῖς προγεγενημέναις συμφοραῖς· οὐ γὰρ μόνον τὰς περὶ τῶν
προτέρων αἰτίας ἐξήλειψαν, ἀλλὰ καὶ τὰ χρήματα Λακεδαιμονίοις, ἃ οἱ
τριάκοντα πρὸς τὸν πόλεμον ἔλαβον, ἀπέδοσαν κοινῇ, κελευουσῶν τῶν συν-
θηκῶν ἑκατέρους ἀποδιδόναι χωρὶς τούς τ' ἐκ τοῦ ἄστεως καὶ τοὺς ἐκ τοῦ
Πειραιέως, ἡγούμενοι τοῦτο πρῶτον ἄρχειν δεῖν τῆς ὁμονοίας· ἐν δὲ ταῖς
ἄλλαις πόλεσιν οὐχ οἷον ἔτι προστιθέασιν τῶν οἰκείων οἱ δημοκρατήσαντες,
ἀλλὰ καὶ τὴν | χώραν ἀνάδαστο[ν] ποιοῦσιν. διελύθησαν δὲ καὶ πρὸς p. 20
τοὺς ἐν Ἐλευσῖνι [κατο]ικήσαντας ἔτει τρίτῳ μετὰ τὴν ἐξοίκησιν, ἐπὶ 4
Ξε[ναι]νέτου ἄρχοντος.

XLI. ταῦτα μὲν οὖν ἐν τοῖς ὕστε[ρο]ν συνέβη γενέσθαι καιροῖς, τότε 1
δὲ κύριος ὁ δῆμος γενόμενος τῶν πραγμάτων ἐνεστήσατο τὴν [νῦν] οὖσαν
πολιτείαν, ἐπὶ Πυθοδώρου μὲν ἄρχοντος, † δοκοῦντος δὲ δικαίως τοῦ δήμου
λαβεῖν τὴν π[ο]λιτείαν διὰ τὸ ποιήσασθαι τὴν κάθοδον δι' αὑτοῦ τὸν δῆμον †.
ἦν δὲ τῶν μεταβολῶν ἑνδεκάτη τὸν ἀριθμὸν αὕτη. πρώτη μὲν γὰρ ἐγένετο 2
μετάστασις τῶν ἐξ ἀρχῆς, Ἴωνος καὶ τῶν μετ' αὐτοῦ συνοικησάντων· τότε
γὰρ πρῶτον εἰς τὰς τέτταρας συνενεμήθησαν φυλὰς καὶ τοὺς φυλοβασιλέας
κατέστησαν. δευτέρα δὲ καὶ πρώτη μετὰ ταύτη[ν], ἔχουσα πολιτείας τάξιν,
ἡ ἐπὶ Θησέως γενομένη, μικρὸν παρεγκλίνουσα τῆς βασιλικῆς. μετὰ δὲ
ταύτην ἡ ἐπὶ Δράκοντος, ἐν ᾗ καὶ νόμους ἀνέγραψαν πρῶτον. τρίτη δ' ἡ
μετὰ τὴν στάσιν ἡ ἐπὶ Σόλωνος, ἀφ' ἧς ἀρχὴ δημοκρατίας ἐγένετο. τετάρτη
δ' ἡ ἐπὶ Πεισιστράτου τυραννίς. πέμπτη δ' ἡ μετὰ ⟨τὴν⟩ τῶν τυράννων κατά-
λυσιν ἡ Κλεισθένους, δημοτικωτέρα τῆς Σόλωνος. ἕκτη δ' ἡ μετὰ τὰ

1 ηρξατα L^{*}, corr. L^{4} 2 πισας L^{*}, corr. L^{4} διξουσιν L^{*}, corr. L^{4} 3 σωζειν L ενμενειν L τουτουτον L^{*}, corr. L^{2} 4 παραδιγμα L^{*}, corr. L^{4} 5 ουδις L^{*}, corr. L^{4} 6 χαλιστα L^{*}, corr. L^{4} καιδια L^{*}, και ιδιαι L^{4} κοινη L^{*}, ι add. L^{4} 7 χρησσασθαι L^{*}, corr. L^{2} 8 εξηλιψαν L 9 κοινη L 10 τ om. L^{*}, suprascr. L^{2} αστεος L^{*}, corr. L^{4} 11 πιραιαιως L^{*}, -εως L^{4} δεν L^{*}, corr. L^{2} 12 οικιων L οἱ δῆμοι κρατήσαντες Hude, van Leeuwen, K-W, S 13 αναδαστον legi potest (αναδοντον Wn, -αντον Bl) 14 εν om. L^{*}, suprascr. L^{4} vestigia κατοικ. apta; -τες L^{*}, corr. L^{2} ετι τριτω L^{*}, corr. L^{4} 16 γενεσται L^{*}, corr. L^{4} 18 πολιτιαν L δοκοῦντος . . . τὸν δῆμον] est aliquid corruptum, τὸν δῆμον del. K-W et lacunam ante δοκοῦντος indicant 19 πολιτιαν L, ut vid. (Bl, Wn) αὑτοῦ] υ in fine super litteram dubiam scr. L^{2} 21 μετατασις L 22 ις L^{*}, corr. L^{2} τεσσαρας L φυλοφασιλεας L^{*}, corr. L^{4} 23 ταυτα L^{*}, ut vid., sed inter scribendum corr. L^{2} εχουσαι (ι del. L^{2}) πολιτειαν ταξιν L; ἔχουσά τι πολιτείας τάξις Wilam. coll. Pol. B 1272b9; alii alia 24 παρε-] προ L^{*}, corr. L^{2} 25 η L 27 πισιστρατου L πέμπτη δ'] πεμπτην L^{*}, corr. L^{4} 28 κλισθενους L

Μηδικά, τῆς ἐξ Ἀρείου πάγου βουλῆς ἐπιστατούσης. ἑβδόμη δὲ καὶ μετὰ p.20
ταύτην, ἣν Ἀριστείδης μὲν ὑπέδειξεν Ἐφιάλτης δ' ἐπετέλεσεν καταλύσας
τὴν Ἀρεοπαγῖτιν βουλήν· ἐν ᾗ πλεῖστα συνέβη τὴν πόλιν διὰ τοὺς δημα-
γωγοὺς ἁμαρτάνειν διὰ τὴν τῆς θαλάττης ἀρχήν. ὀγδόη δ' ἡ τῶν τετρα-
κοσίων κατάστασις, καὶ μετὰ ταύτην, ἐνάτη δέ, δημοκρατία πάλιν. δεκάτη
δ' ἡ τῶν τριάκοντα καὶ ἡ τῶν δέκα τυραννίς. ἑνδεκάτη δ' ἡ μετὰ τὴν
ἀπὸ Φυλῆς καὶ ἐκ Πειραιέως κάθοδον, ἀφ' ἧς διαγεγένηται μέχρι τῆς νῦν
ἀεὶ προσεπιλαμβάνουσα τῷ πλήθει τὴν ἐξουσίαν. ἁπάντων γὰρ αὐτὸς
αὑτὸν πεποίηκεν ὁ δῆμος κύριον, καὶ πάντα διοικεῖται ψηφίσμασιν καὶ δικα-
στηρίοις, ἐν οἷς ὁ δῆμός ἐστιν ὁ κρατῶν. καὶ γὰρ αἱ τῆς βουλῆς κρίσεις
εἰς τὸν δῆμον ἐληλύθασιν. καὶ τοῦτο δοκοῦσι ποιεῖν ὀρθῶς· εὐδιαφθορώ-
τεροι γὰρ ⟨οἱ⟩ ὀλίγοι τῶν πολλῶν εἰσιν καὶ κέρδει καὶ χάρισιν. μισθοφόρον 3
δ' ἐκκλησίαν τὸ μὲν πρῶτον ἀπέγνωσαν ποιεῖν· οὐ συλλεγομένων δ' εἰς
τὴν ἐκκλησίαν, ἀλλὰ πολλὰ σοφιζομένων τῶν πρυτάνεων, ὅπως προσι-
στῆται τὸ πλῆθος πρὸς τὴν ἐπι|κύρωσιν τῆς χειροτονίας, πρῶτον μὲν p. 21
Ἀγύρριος ὀβολὸν ἐπόρισεν, μετὰ δὲ τοῦτον Ἡρακλείδης ὁ Κλαζομένιος ὁ
βασιλεὺς ἐπικαλούμενος διώβολον, πάλιν δ' Ἀγύρριος τριώβολον.

XLII. ἔχει δ' ἡ νῦν κατάστασις τῆς πολιτείας τόνδε τὸν τρόπον. 1
μετέχουσιν μὲν τῆς πολιτείας οἱ ἐξ ἀμφοτέρων γεγονότες ἀστῶν, ἐγγράφονται
δ' εἰς τοὺς δημότας ὀκτωκαίδεκα ἔτη γεγονότες. ὅταν δ' ἐγγράφωνται δια-
ψηφίζονται περὶ αὐτῶν ὀμόσαντες οἱ δημόται, πρῶτον μὲν εἰ δοκοῦσι
γεγονέναι τὴν ἡλικίαν τὴν ἐκ τοῦ νόμου, κἂν μὴ δόξωσι, ἀπέρχονται πάλιν
εἰς παῖδας, δεύτερον δ' εἰ ἐλεύθερός ἐστι καὶ γέγονε κατὰ τοὺς νόμους.

---

1 μηδιχα L^*, corr. L^4 αριου L καὶ del. Bl, ἡ substituunt J. B. Mayor, H-L, K-W, S. abundat sane καὶ μετὰ ταύτην (at non minus ἡ μ. τ.), sed cf. l. 5 et p. 42,23 2 υπεδιξεν L 3 αρεοπαγιδιν L^*, corr. L^4 η L τὴν πόλιν] hic opus incipit scriba tertius (L^3) 3. 4 δημαγογους L^*, corr. L^4 4 θαλαλαττης L^*, corr. L^4 ογδοην L 5 καταταστασιν L^*, τα primum del. L^3 ante δημοκρατία η leg. Wn, quod potest verum esse; δὲ ἡ del. K-W 7 πειραιως L 12 ολιγον L; οἱ add. Kontos, cett. χαρεισιν L^*, corr. $L^{3?}$ postea και L^*, del. L^3 13 δεκλησαν L^*, κ et ι suprascr. L^4; τὴν praeponunt K-W ποιειειν L^*, corr. L^3, ut vid. συνλ- L^*, corr. L^4 13. 14 δ εις την εκκλησιαν male repetit L^*, del. $L^?$ 17 δηδιβολον L^*, corr. L^4 Αγυριος L^*, corr. L^4 τριοβολον L^*, corr. L^4 18 εδει L^*, corr. L^3 πολειτειας L (item l. 19) 19 ενγρα- L 20 οκτωκαιδεκαετεις L^*, ετη suprascr. L^4 γεγονοτας L^*, corr. L^4 δεγραφονται L^*, ω suprascr. L^4, δ' ἐγγρά- Bl, cett. 20. 21 διαψηφειζονται L

---

9 Arist. Pol. Δ 1292a34 ὥστ' εἴπερ ἐστὶ δημοκρατία μία τῶν πολιτειῶν, φανερὸν ὡς ἡ τοιαύτη κατάστασις ἐν ᾗ ψηφίσμασι πάντα διοικεῖται, οὐδὲ δημοκρατία κυρίως.

16 Hesych: Κλαζομένιος οὗτος: Ἡρακλείδης ὁ Κλαζομένιος ὁ (τε cod.) καὶ βασιλεὺς (βαῦς cod., corr. Blass) καλούμενος.

20. 21 Schol. Ar. Vesp. 578 (V, dett.): Ἀριστοτέλης δέ φησιν, ὅτι ψήφῳ οἱ ἐγγραφόμενοι δοκιμάζονται, μὴ νεώτεροι (οἱ νεώτεροι μὴ codd., corr. Kaibel-Wilamowitz) ιη ἐτῶν εἶεν.

ἔπειτ᾽ ἂν μὲν ἀποψηφίσωνται μὴ εἶναι ἐλεύθερον, ὁ μὲν ἐφίησιν εἰς τὸ p.21
δικαστήριον, οἱ δὲ δημόται κατηγόρους αἱροῦνται πέντε [ἄν]δρας ἐξ αὑτῶν,
κἂν μὲν μὴ δόξῃ δικαίως ἐγγράφεσθαι, πωλεῖ τοῦτον ἡ πόλις· ἐὰν δὲ
νικήσῃ, τοῖς [δ]ημόταις ἐπάναγκες ἐγγράφειν. μετὰ δὲ ταῦτα δ[οκ]ι- 2
μάζει τοὺς ἐγγραφέντας ἡ βουλή, κἄν τις δόξ[ῃ] νεώτερος ὀκτωκαίδεκ᾽ ἐτῶν
εἶναι, ζημιοῖ τ[ο]ὺς δημότας τοὺς ἐγγράψαντας. ἐπὰν δὲ δοκιμασθῶσιν οἱ
ἔφηβοι, συλλεγέντες οἱ πατέρες αὐτῶν [κ]ατὰ φυλάς ὀμόσαντες αἱροῦνται
τρεῖς ἐκ τῶν φυλετῶν τῶν ὑπὲρ τετταράκοντα ἔτη γεγονότων, οὓς ἂν ἡγῶνται
βελτίστους εἶναι καὶ ἐπιτηδειοτάτους ἐπιμελεῖσθαι τῶν ἐφήβων, ἐκ δὲ τούτων
ὁ δῆμος ἕνα τῆς φυλῆς ἑκάστης χειροτονεῖ σωφρονιστὴν καὶ κοσμητὴν ἐκ
τῶν ἄλλων Ἀθηναίων ἐπὶ πάντας. συλλαβόντες δ᾽ οὗτοι τοὺς ἐφήβους, 3
πρῶτον μὲν τὰ ἱερὰ περιῆλθον, εἶτ᾽ εἰς Πειραιέα πορεύονται καὶ φρουροῦσιν
οἱ μὲν τὴν Μουνιχίαν οἱ δὲ τὴν Ἀκτήν. χειροτ[ο]νεῖ δὲ καὶ παιδοτρίβας
αὐτοῖς δύο, καὶ διδασκάλους, οἵτινες ὁπλομαχεῖν καὶ τοξεύειν καὶ ἀκοντίζειν
καὶ καταπάλτην ἀφιέναι διδάσκουσιν. δίδωσι δὲ καὶ εἰς τροφ[ὴν] τοῖς μὲν
σωφρονισταῖς δραχμὴν ᾱ ἑκάστῳ, τοῖς δ᾽ ἐφήβοις τέτταρας ὀβολοὺς ἑκάστῳ·
τὰ δὲ τῶν φυλετῶν τῶν αὑτοῦ λαμβάνων ὁ σωφρονιστὴς ἕκαστος ἀγοράζει
τὰ ἐπιτήδεια πᾶσιν εἰς τὸ κοινὸν (συσσιτοῦσι γὰρ κατὰ φυλάς), καὶ τῶν
ἄλλων ἐπιμελεῖται πάντων. καὶ τὸν μὲν πρῶτον ἐνιαυτὸν οὕτως διάγουσι· 4
τὸν δ᾽ ὕστερον ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης ἀποδειξάμενοι τῷ δήμῳ |

1 οτι επιταν L^*, οτι del. $L^?$ επιψηφισωνται L, corr. Wyse, al. 3 ηαν L ενγρα- L (item ll. 4—6) 4 νεικηση L 7 συνλ- L αυτον L^*, corr. L^4 8 τρεις om. L^*, suprascr. L^3 τετταρακοτα L 9 ηγονται L^*, corr. L^4 επιτηδιοτατους L 10 σοφρ- L^*, corr. L^4 11 δ᾽] τ L^*, corr. L^4 12 πειραι L^*, corr. L^4 13 μουνυχιαν L κ(αι) om. L^*, suprascr. L^4 παιδοτρειβας L 14 τουτοις L^*, corr. L^4 καικοντιζειν L^*, α suprascr. L^4 15 καταπάλτην] κατην L^*, απελτην suprascr. L^4; -παλτην Meisterhans[3] p. 14 18 ἐπιτηδια L^*, corr. L^4 συσιτουσι L 19 επιμεληματ L^*, τ super μ scr. L^4 το L^*, corr. L^4 20 τον υστερον L^*, δ suprascr. $L^{4?}$; τὸν δὲ δεύτερον ex Harp. K-W (sed apud Harp. ὕστερον ambiguum fuisset, quippe qui τὸν μὲν πρῶτον non citavisset) τω L^*, ι add. L^4 θεατρω L τω L

1 Glossa Lexici Bekk. quinti (BA 244,8 ἔφεσις: εἴσοδος ἡ εἰς ἄλλο δικαστήριον ἐφιεμένη ὑπὲρ τοῦ κριθῆναι αὖθις τὸ αὐτὸ πρᾶγμα) plenior et melior apud Phot.[I], cuius glossam exscripsit Et. genuinum (unde Symeo et Et. M. 401,50) ἔφεσις: ἡ εἰς ἄλλο δικαστήριον ἐφιεμένη δίκη ὑπὲρ τοῦ κριθῆναι πάλιν. ἐγένετο δὲ Ἀθήνησιν ἐπὶ τῶν ἐν τοῖς δήμοις ἀποψηφισθέντων. ἐφεῖσθαι γὰρ αὖθις ἐξῆν αὐτοῖς εἰς δικαστήριον περὶ τῆς πολιτείας. καὶ εἰ μὲν ἑάλωσαν, ἐπωλοῦντο ὡς ξένοι. εἰ δὲ μή, ἐπανῄεσαν εἰς τοὺς ἐξ ὧν ἀπεψηφίσθησαν δήμους.

10 Lex. Bekk. quintum (BA[V] 301,7) σωφρονισταί: ἄρχοντές τινες χειροτονητοί, δέκα τὸν ἀριθμόν, ἑκάστης φυλῆς εἷς. ἐπεμελοῦντο δὲ τῆς σωφροσύνης τῶν ἐφήβων, μισθὸν παρὰ τῆς πόλεως λαμβάνοντες ἕκαστος καθ᾽ ἡμέραν δραχμήν. Eandem glossam descripsit paullo pleniorem Phot., quem expilavit Etym. genuinum (unde Symeo et Et. M. 742,38) σωφρονισταί: ἄρχοντές τινες χειροτονητοί, δέκα τὸν ἀριθμὸν ἑκάστης φυλῆς (sic!). ἐχειροτόνει μὲν ὁ δῆμος, ἐπεμελοῦντο δὲ οἱ χειροτονηθέντες τῆς τῶν ἐφήβων σωφροσύνης μισθὸν λαμβάνοντες ἕκαστος παρὰ τῆς πόλεως καθ᾽ ἡμέραν δραχμήν.

20 Harpocr. s. v. περίπολος: ... Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων

τὰ περὶ τὰς τάξεις καὶ λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τῆς πόλεως περι- p.22
πολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις. φρουροῦσι 5
δὲ τὰ δύο ἔτη, χλαμύδας ἔχοντες, καὶ ἀτελεῖς εἰσι πάντων· καὶ δίκ[η]ν
οὔτε διδόασιν οὔτε λαμβάνουσιν, ἵνα μὴ πρό[φ]ασις ᾖ τ[ο]ῦ ἀπιέναι, πλὴν
περὶ κλήρου καὶ ἐπικλή[ρου], κἄν τ[ι]νι κατὰ τὸ γένος ἱερωσύνη γένηται.
διε[ξ]ελθόντων δὲ τῶν δυεῖν ἐτῶν ἤδη μετὰ τῶν ἄλλων εἰσίν.

XLIII. τὰ μὲν οὖν περὶ τὴν τῶν πολιτῶν ἐγγραφὴν καὶ τοὺς ἐφή- 1
βους τοῦτον ἔχει τὸν τρόπον. τὰς δ' ἀρχὰς τὰς περὶ τὴν ἐγκύκλιον διοί-
κησιν ἁπάσας ποιοῦσι κληρωτὰς πλὴν ταμίου στρατιωτικῶν καὶ τῶν ἐπὶ τὸ
θεωρικὸν καὶ τοῦ τῶν κρηνῶν ἐπιμελητοῦ. ταύτας δὲ χειροτονοῦσιν, καὶ
οἱ χειροτονηθέντες ἄρχουσιν ἐκ Παναθηναίων εἰς Παναθήναια. [χ]ειρο-
τονοῦσι δὲ καὶ τὰς πρὸς τὸν πόλεμον ἁπάσας.

βουλὴ δὲ κληροῦται φ̄, ν̄ ἀπὸ φυλῆς ἑκάστης. πρυτανεύει δ' ἐν 2
μέρει τῶν φυλῶν ἑκάστη καθ' ὅ τι ἂν λάχωσιν, αἱ μὲν πρῶται τέτταρες

---

2 διατριβουσιν L 4 διδωασιν L*, corr. L[4] η L πρην L*, corr. L[4] 5 καaν L*, corr. L[?] ιεροσυνη L 6 -ελθοιντων L 7 πολειτ(ων) L ενγρα- L εφη L*, βους suprascr. L[3] 8 της ενκυκλιου L*, ut vid., corr. L[3] et L[4] 9 πληρωτας L 11 παναθηνεα L*, corr. L[4] 13 πληρουται L*, corr. L[3]

λέγων φησὶν οὕτως· "τὸν δεύτερον ἐνιαυτὸν ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης (γινομένης Epit. et G), ἀποδεξάμενοι τῷ δήμῳ τὰ περὶ τὰς τάξεις καὶ λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου περιπολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις." παρατηρητέον οὖν ὅτι ὁ μὲν Ἀριστοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίγνεσθαι τοὺς ἐφήβους, ὁ δὲ Αἰσχίνης δύο ... (Epit. exscr. Phot.[II] et Suid. et schol. Bernard. Aeschin. II 167). Cf. Phot.[I] περίπολος: οἱ ἔφηβοι περίπολοι τῆς χώρας καὶ φύλακες ἐγένοντο, προγυμναζόμενοι εἰς τὰ πολέμια.

13 Harpocr. πρυτανείας: ἔστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία ἤτοι λ̄ς̄ ἢ λ̄ε̄, καὶ ἑκάστη φυλὴ πρυτανεύει. διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ (Epit. exscr. Phot. Suid.). Glossas duas Lexici Bekk. quinti (BA 291,11; exscr. Et. M. 693,41): πρυτανεία τί ἐστι: καθολικῶς μὲν ἡ πρυτανεία ἀριθμὸς ἡμερῶν λ̄ς̄ ἢ λ̄ε̄, ἃς ἑκάστη φυλὴ πρυτανεύειν λέγεται. ἐκτεταμένως δὲ καὶ θηλυκῶς ἡ πρυτανεία ῥητέον. — πρυτάνεια: ἀργύριόν τί ἐστι, ὃ κατετίθεσαν οἱ δικαζόμενοι. οὐδετέρως δὲ ῥητέον τὰ πρυτάνεια pleniores habent Phot.[IV] = Suid.[I]. πρυτανεία: ἐκτεταμένως μὲν καὶ θηλυκῶς ἀριθμός τις ἡμερῶν, οὐδετέρως δὲ σαφῶς μὲν οὐδεὶς εἶπεν τί δηλοῖ. τινὲς δὲ ἀργύριόν τι ἔφασαν εἶναι ὃ κατετίθεσαν οἱ δικαζόμενοι ἐξ ὧν τὸ δικαστικὸν ἐδίδοτο τοῖς ἑξακισχιλίοις. πρυτανεῖαι δὲ ὁ τῶν ἡμερῶν ἀριθμός· δέκα ἐγίνοντο κατ' ἐνιαυτόν, ὅτι καὶ δέκα αἱ φυλαί. ἐνιαυτὸν δὲ οἱ Ἀθηναῖοι τὸν σεληνιακὸν ἦγον. ἐπέβαλεν δὲ ἑκάστη φυλὴ τῶν δέκα λε ἡμέρας καὶ ἐπερίττευον ἐκ τοῦ σεληνιακοῦ ἐνιαυτοῦ ἡμέραι τέσσαρες, ἃς ἐπεμέριζον ταῖς πρώταις λαχούσαις πρυτανεύειν τέσσαρσι φυλαῖς. καὶ τῶν μὲν τεσσάρων πρώτων (πρῶτον Phot. Suid., corr. Gaisford) ἑκάστη εἶχε τὴν πρυτανείαν ἀπαρτιζομένην εἰς λ̄ς̄ ἡμέρας, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ λ̄ε̄ et Schol. Plat. legg. 953 C. ... πρυτανεία δέ ἐστιν ἀριθμός τις ἡμερῶν, ἤτοι λ̄ς̄ ἢ λ̄η̄ ἢ λ̄ε̄, ἃς ἑκάστη φυλὴ πρυτανεύειν λέγεται. ιβ μὲν γὰρ οἱ μῆνες, ῑ δέ εἰσι πρυτανεῖαι καὶ φυλαὶ ῑ. καὶ διῄρηνται εἰς ταύτας αἱ ἡμέραι τοῦ ἐνιαυτοῦ. κατὰ γὰρ σελήνην ἄγουσι τοῦτον, ὡς ἑκάστῃ τῶν ῑ φυλῇ ἐπιβάλλειν λ̄ε̄ ἡμέρας, πλεονάζειν δὲ ὀλίγας. διὸ καὶ τὰς λοιπὰς ἀπέδωκαν οἱ Ἀθηναῖοι ταῖς πρώταις λαχούσαις τέτταρσι φυλαῖς, ἵνα ἐκείνων μὲν ἑκάστη τὰς λ̄ς̄ ἡμέρας πρυτανεύῃ, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ λ̄ε̄· πρυτανεῖα δὲ οὐδετέρως οὐχ εὕρηται· τινὲς δὲ ἀργύριόν τι, ὃ κατατίθεται ὑπὸ τῶν δικαζομένων καὶ δίδοται δικαστικὸν τοῖς ἑξακισχιλίοις, depravatam et mutilatam Lex. Patm. p. 141. Schol. Hermog. V 509 Walz ὡρισμέναι ἦσαν ἐκκλησίαι κατὰ πρυτανείαν

ἓξ καὶ λ̄ ἡμέρας ἑκάστη, αἱ δὲ ϛ̄ αἱ ὕστεραι ε̄ καὶ λ̄ ἡμέρας ἑκάστη· p.22
κατὰ σελήνην γὰρ ἄγουσιν τὸ[ν] ἐνιαυτόν. οἱ δὲ πρυτανεύοντες αὐτῶν 3
πρῶτον μὲν συσσιτοῦσιν ἐν τῇ θόλῳ, λαμβάνοντες ἀργύριον παρὰ τῆς πόλεως, ἔπειτα συνάγουσιν καὶ τὴν βουλὴν καὶ τὸν δῆμον· τὴν μὲν οὖν βουλὴν ὅσαι ἡμέραι, πλὴν ἐάν τις ἀφέσιμος ᾖ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. καὶ ὅσα δεῖ χρηματίζειν τὴν βουλὴν καὶ ὅ τι ἐν ἑκάστῃ τῇ ἡμέρᾳ καὶ ὅπου καθίζειν οὗτοι προγράφουσι.
προγράφουσι δὲ καὶ τὰς ἐκκλησίας οὗτοι· μίαν μὲν κυρίαν ἐν ᾗ δεῖ τὰς 4
ἀρχὰς ἐπιχειροτονεῖν εἰ δοκοῦσι καλῶς ἄρχειν, καὶ περὶ σίτου καὶ περὶ φυλακῆς τῆς χώρας χρηματίζειν, καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ

1 ϛ L^{*}, εξ L^{4} πεντε L^{*}, ε L^{4} 3 συσι (ι super ras. 2 litt.) τουσιν L τη L αργυρια L^{*}, corr. L^{4} 5 οὖν om. Harp. (τὴν μὲν codex N; cett. ἢ τὴν) K-W, Bl, S; sed cf. Bonitz, Ind. 540b42 sqq. οσημεραι Harp. ἐάν] εναν L 6 τετράκις] εκαστης L^{*}, corr. L^{4} χρηματιζει L 7 εκαστη L^{*}, ι add. L^{4} τη ημερα L οτι ου καθιζει L, corr. K-W δε post προγραφουσι L^{*}, corr. inter scribendum L^{3} 8 προγραφουσι] φρο- L^{*}, corr. L^{4} η L 9 χειροτονειν L^{*}, επιχει- L^{4}; ἀποχειρ. εἰ (cod. N, cett. οἳ) δοκ. μὴ Harp. εχειν L^{*}, corr. L^{4} σειτου L 10 εισαγγελειας L ταυτη τη ημερα L

ἑκάστην τέσσαρες. δέκα δ' οὐσῶν Ἀθήνησι φυλῶν ἐπρυτάνευον αἱ μὲν πρῶται λαχοῦσαι φυλαὶ τέσσαρες ἀνὰ τριάκοντα ἓξ ἡμέρας, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ τριάκοντα πέντε· μετὰ οὖν τὰς ὡρισμένας τοῦ δήμου συνόδους ἐν ταῖς ἐκκλησίαις εἴ τι ἀναγκαῖον ἐμπέσοι πρᾶγμα, περὶ οὗ τὸν δῆμον ἐχρῆν συνελθόντα γνῶναι, σύγκλητος ἐγένετο ἐκκλησία.

2 Poll. VIII 95 πρυτάνεις: οὗτοι τὴν βουλὴν συνάγουσιν ὁσημέραι, πλὴν ἄν τις ἄφετος ᾖ, τὸν δὲ δῆμον τετράκις ἑκάστης πρυτανείας. καὶ προγράφουσι πρὸ τῆς βουλῆς καὶ πρὸ τῆς ἐκκλησίας ὑπὲρ ὧν δεῖ χρηματίζειν. τῶν δ' ἐκκλησιῶν ἡ μὲν κυρία, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονοῦσιν, εἴπερ καλῶς ἄρχουσιν, ἢ ἀποχειροτονοῦσιν, ἐν ᾗ καὶ τὰς εἰσαγγελίας ὁ βουλόμενος εἰσαγγέλλει καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκουσιν οἱ πρὸς ταῖς δίκαις καὶ τὰς λήξεις τῶν κλήρων. (96) ἡ δὲ δευτέρα ἐκκλησία ἀνεῖται τοῖς βουλομένοις ἱκετηρίαν θεμένοις λέγειν ἀδεῶς περί τε τῶν ἰδίων καὶ τῶν δημοσίων, ἡ δὲ τρίτη κήρυξι καὶ πρεσβείαις ἀξιοῖ χρηματίζειν, οὓς δεῖ πρότερον τοῖς πρυτάνεσιν ἀποδοῦναι τὰ γράμματα, ἡ δὲ τετάρτη περὶ ἱερῶν καὶ ὁσίων.

5 Harp. s. v. κυρία ἐκκλησία: . . . . . τίνες δὲ αἱ κύριαι ἐκκλησίαι, Ἀριστοτέλης δεδήλωκεν ἐν τῇ Ἀθηναίων πολιτείᾳ, λέγων τοὺς πρυτάνεις συνάγειν τὴν βουλὴν καὶ τὸν δῆμον, ἢ τὴν (lege καὶ τὴν μὲν) βουλὴν ὁσημέραι πλὴν ἐάν τις ἀφέσιμος ᾖ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. "προγράφουσι (προσγράφουσι codd.) δέ, φησί, καὶ κυρίαν ἐκκλησίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν, οἳ δοκοῦσι μὴ καλῶς ἄρχειν, καὶ περὶ φυλακῆς τῆς χώρας." καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαί φησι καὶ τὰ ἑξῆς. (Epitomen exscr. Phot.[1] Suid.). — Lex. Cantabr. 672,3 κυρία ἡ ἐκκλησία: Δημήτριος ὁ Φαληρεὺς ἐν τῷ δευτέρῳ περὶ τῆς Ἀθηναίων νομοθεσίας spatium 12 litterarum πλεῖστα ἐχρημάτιζεν ἢ μέγιστα τῶν κοινῶν· ἀλλ' ἐνῆν τὸν δεδεμένον φησίν. εἰκότως δ' ἄν τις αὐτῷ ἐπιτιμήσειεν· εἰ γὰρ ἄν ποτε κυρίας ἐκκλησίας τοὺς Ἀθηναίους νομίσαι ἐν spatium 8 litterarum ἐμίσθουν spatium 10 litterarum ἄμεινον οὖν Ἀριστοτέλει· τὰς γὰρ ἀρχὰς ἐν ταῖς κυρίαις ἐκκλησίαις ἔφησε χειροτονεῖσθαι· καὶ τὰς εἰσαγγελίας· καὶ τὰ ἄλλα (τὰς ἄλλως cod., corr. Meier) τῶν ἀναγκαίων χρηματίζειν· καὶ περὶ σίτου ⟨καὶ περὶ add. Meier⟩ φυλακῆς τῆς χώρας· καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκειν· καὶ τὰς λήξεις (δείξεις cod., corr. Dobree) τῶν κλήρων· ἐπὶ δὲ τῆς ἕκτης πρυτανείας πρὸς τοῖς εἰρημένοις καὶ περὶ τῆς ὀστρακοφορίας ἐπιχειροτονίαν δίδοσθαι εἰ δοκεῖ ⟨ποιεῖν add. Blass⟩ ἢ μή. — Hesych. κυρία ἐκκλησία: μία κυρία ἐκκλησία ἤγετο Ἀθήνησιν ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονεῖν ἔδει.

τοὺς βουλομένους ποιεῖσθαι, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀνα- p.22
γιγνώσκειν καὶ τὰς λήξεις τῶν κλήρων καὶ τῶν ἐπικλήρων [ἀναγινώσκειν],
ὅπως μηδένα λάθῃ μηδὲν ἔρημον γενόμενον. ἐπὶ δὲ τῆς ἕκτης πρυτα- 5
νείας πρὸς τοῖς εἰρημένοις καὶ περὶ τῆς ὀστρακοφορίας ἐπιχειροτονίαν
διδόασιν εἰ δοκεῖ ποιεῖν ἢ μή, καὶ συκοφαντῶν προβολὰς τῶν Ἀθηναίων
καὶ τῶν μετοίκων μέχρι τριῶν ἑκατέρων, κἄν τ[ι]ς ὑποσχόμενός τι μὴ ποιήσῃ
τῷ δήμῳ. ἑτέραν δὲ ταῖς ἱκετηρίαις, ἐν ᾗ θεὶς ὁ βουλόμενος ἱκετηρίαν 6
[ὑπὲρ] ὧν ἂν βούληται | καὶ ἰδίων καὶ δημοσίων διαλέξεται πρὸς τὸν δῆμον. p.23
αἱ δὲ δύο περὶ τῶν ἄλλων εἰσίν, ἐν αἷς κελεύουσιν οἱ νόμοι τρία μὲν ἱερῶν
χρηματίζειν, τρία δὲ κήρυξιν καὶ πρεσβείαις, τρία δὲ ὁσίων· χρηματίζουσιν
δ' ἐνίοτε καὶ ἄνευ προχειροτονίας. προσέρχονται δὲ καὶ οἱ κήρυκες καὶ οἱ
πρέσβεις τοῖς πρυτάνεσιν πρῶτον, καὶ οἱ τὰς ἐπιστολὰς φέροντες τούτοις
ἀποδιδόασι.

XLIV. ἔστι δ' ἐπιστάτης τῶν πρυτάνεων εἷς ὁ λαχών· οὗτος 1

---

1. 2 αναγεινωσκειν L*, αναγιν- L[4]; item l. 2 2 αναγινωσκειν del. K-W (cf. testim.) 3 λαθη L 4 ηρημενοις L προχειροτονίαν K-W, sed ἐπιχ- etiam lex. rhet. Cant. 5 διδοασι L η μην συνκοφαντων L*, corr. L[3] 6 τι μὴ] ειμαι L*, τιμηι L[4] ποιηση L 7 τω L εν η θης L*, corr. L[4] ὁ] ου L 8 ὑπὲρ] ita (υ') recte H-L, ut vid.; περὶ K-W, quod non capit lacuna διαδεξεται L 9 η δε δυω L*, corr. L[4] νόμοι] μενμοι L*, corr. L[4] 10 τρια] τρισι L*, corr. L[4] τρία δὲ ὁσίων] συρακοσιων suprascr. L[4] 11 προχειροτονειας L εισερχονται L*, corr. L[4] 12 τοῖς] εις L*, corr. L[4] 13 ἀποδιδωασι L*, corr. L[4]

---

14 Poll. VIII 96 ὁ δ' ἐπιστάτης καλούμενός ἐστιν εἷς τῶν πρυτάνεων ὁ κλήρῳ λαχών· δὶς δ' οὐκ ἔξεστι γενέσθαι τὸν αὐτὸν ἐπιστάτην. ἔχει δὲ οὗτος τὰς κλεῖς τῶν ἱερῶν, ἐν οἷς τὰ χρήματα καὶ τὰ γράμματα. καὶ ὅταν οἱ πρυτάνεις τὸν δῆμον ἢ τὴν βουλὴν συναγάγωσιν, οὗτος ἐξ ἑκάστης φυλῆς πρόεδρον ἕνα κληροῖ μόνην τὴν πρυτανεύουσαν ἀφιείς. — Harpocr. s. v. ἐπιστάτης: . . . δύο εἰσὶν οἱ καθιστάμενοι ἐπιστάται, ὁ μὲν ἐκ πρυτάνεων κληρούμενος, ὁ δὲ ἐκ τῶν προέδρων, ὧν ἑκάτερος τίνα διοίκησιν διοικεῖ, δεδήλωκεν ὁ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ . . . (Epit. exscr. Suid.[III] cf. ex Photio Etym. genuin., unde Et. M. 364,41). Lex. Bekk. quint. (BA 244,31): ἐπιστάτης ἄρχων ἐπὶ τῆς βουλῆς κληρωτός (κληρωτῶν cod., corr. Bekker) ὁ ἐφεστὼς τοῖς ὑπὸ πάντων βουλευτῶν πραττομένοις. εἰσὶ δὲ δύο, εἷς μὲν ἐκ τῶν πρυτάνεων κληρούμενος, ἕτερος δὲ ἐκ τῶν δέκα προέδρων, ὧν ἑκάτερος διοίκησίν τινα διῴκει. Eadem glossa plenior extat apud Suidam [II] ἐπιστάτης: τῶν πρυτάνεων εἷς ὁ λαχὼν ἐπιστάτης ἐλέγετο. δὶς δὲ τὸν αὐτὸν ἐπιστατῆσαι οὐκ ἐξῆν. φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς ἐν ᾧ τὰ δημόσια χρήματα, ἔτι μὴν καὶ τὴν δημοσίαν σφραγῖδα. ἐπειδὰν δὲ οἱ πρυτάνεις συναγάγωσι τὴν βουλὴν ἢ τὸν δῆμον, ὁ ἐπιστάτης κληροῖ προέδρους ἐννέα, ἀπὸ φυλῆς ἑκάστης ἕνα, πλὴν τῆς πρυτανευούσης, καὶ πάλιν ἐκ τῶν ἐννέα τούτων ἐπιστάτην ἕνα κληροῖ, καὶ τὸ πρᾶγμα παραδίδωσιν· αὐτὸς (lege οὗτος) δὲ εἰσάγει τὴν δίκην καὶ ἐπιμελεῖται τοῦ κατὰ νόμον πάντα γενέσθαι καὶ μηδὲν παραλειφθῆναι πρὸς τὸ διδαχθῆναι τοὺς δικαστάς, et in Etym. genuino [ex Photio], unde Et. M. 364,43 . . . . . φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς, ἐν ᾧ τὰ δημόσια χρήματα, ἔτι μὴν καὶ τὴν δημοσίαν σφραγῖδα, et in Lexico Patm. p. 13 ἐπιστάτης] οὗτος ἐκ τῶν πρυτάνεων ἐκληροῦτο καὶ ἐπεστάτει νύκτα καὶ ἡμέραν μόνον, καὶ οὐκ ἐξῆν δεύτερον (lege δὶς) τὸν αὐτὸν γίνεσθαι (leg. γενέσθαι). τὰς δὲ κλεῖς τῶν ἱερῶν ἐν οἷς ἐπέκειτο (lege ἀπέκειτο) τὰ χρήματα καὶ τὰ γράμματα τῆς πόλεως (nihil amplius in codice). Eustath. ad ρ 455 p. 1827,49 προσενθυμητέον δὲ καὶ Τηλέφου τοῦ, ὡς ἱστορεῖται, Περγαμηνοῦ, ὅτι κατὰ τὴν ἐκείνου παράδοσιν νομική τις ἦν λέξις ἡ τεχνικὴ ἐν τοῖς μεθ' Ὅμηρον ὁ ἐπιστάτης.

δ' ἐπιστατεῖ νύκτα καὶ ἡμέραν, καὶ οὐκ ἔστιν οὔτε πλείω χρόνον οὔτε δὶς p. 23 τὸν αὐτὸν γενέσθαι. τηρεῖ δ' οὗτος τάς τε κλεῖς τὰς τῶν ἱερῶν, ἐν οἷς τὰ χρήματ' ἔστιν καὶ ⟨τὰ⟩ γράμματα τῇ πόλει, καὶ τὴν δημοσίαν σφραγῖδα, καὶ μένειν ἀναγκαῖον ἐν τῇ θόλῳ τοῦτόν ἐστιν καὶ τριττὺν τῶν πρυτάνεων ἣν ἂν οὗτος κελεύῃ. 2 καὶ ἐπειδὰν συναγάγωσιν οἱ πρυτάνεις τὴν βουλὴν ἢ τὸν δῆμον, οὗτος κληροῖ προέδρους ἐννέα, ἕνα ἐκ τῆς φυλῆς ἑκάστης πλὴν τῆς πρυτανευούσης, καὶ πάλιν ἐκ τούτων ἐπιστάτην ἕνα, καὶ παραδίδωσι τὸ πρόγραμμα αὐτοῖς· 3 οἱ δὲ παραλαβόντες τῆς τ' εὐκοσμίας ἐπιμελοῦνται καὶ ὑπὲρ ὧν δεῖ χρηματίζειν προτιθέασιν καὶ τὰς χειροτονίας κρίνουσιν καὶ τὰ ἄλλα πάντα διοικοῦσιν καὶ τοῦ [τ'] ἀφεῖναι κύριοί εἰσιν. καὶ ἐπιστατῆσαι μὲν οὐκ ἔξεστιν πλέον ἢ ἅπαξ ἐν τῷ ἐνιαυτῷ, προεδρεύειν δ' ἔξεστιν ἅπαξ ἐπὶ τῆς πρυτανείας ἑκάστης.

4 ποιοῦσι δὲ καὶ ἀρχαιρεσίας στρατηγῶν καὶ ἱππάρχων καὶ τῶν ἄλλων τῶν πρὸς τὸν πόλεμον ἀρχῶν ἐν τῇ ἐκκλησίᾳ, καθ' ὅ τι ἂν τῷ δήμῳ δοκῇ· ποιοῦσι δ' οἱ μετὰ τὴν ϛ̄ πρυτανεύοντες ἐφ' ὧν ἂν εὐσημία γένηται. δεῖ δὲ προβούλευμα γενέσθαι καὶ περὶ τούτων.

XLV. 1 ἡ δὲ βουλὴ πρότερον μὲν ἦν κυρία καὶ χρήμασιν ζημιῶσαι καὶ δῆσαι καὶ ἀποκτεῖναι. καὶ Λυσίμαχον αὐτῆς ἀγαγούσης ὡς τὸν δήμιον καθήμενον ἤδη μέλλοντα ἀποθνῄσκειν Εὐμηλίδης ὁ Ἀλωπεκῆθεν ἀφείλετο,

---

2 πλειστας L*, corr. L⁴ 3 τα e gramm. add. K-W (v. testim.) σφραγειδα L 4 τουτον] τ' add. K-W, S. 5 κελευη L 6 καστης L*, ε suprascr. L³? 8 ευκοσμιαν L*, corr. L⁴ 9 δεῖ χρηματίζειν] ita L*; post χρ., δει κ(αι) suprascr. L⁴, unde χρηματίζειν δεῖ K-W 10 κρεινουσιν L*, corr. L⁴ τ' del. Bl., K-W, S.; ante ἄλλα ins. K-W 11 πλειον L, πλέον H-L (cf. p. 35,13) τω ενιαυτων L*, corr. L⁴; post τω προ scr. L*, sed corr. inter scribendum 13 δεκαιδεκαρχαι- L, δεκ alt. del. S, cett. 14 τη εκκλησια L εν L*, corr. L⁴ 14. 15 τω δημω δοκη L 15 δ om. L*, suprascr. L⁴? μετατατην L πρυτανεξοντες L*, corr. L⁴? ευσημεια L*, corr. L⁴ 19 αποθνησκειν L Ευμηλειδης L; corr. sec. Att. inscr. plerasque K-W, cett. Αλωπεθηκεν L

γίνεται γάρ, φησιν, ἐπιστάτης Ἀθήνησιν ἐκ τῶν πρυτάνεων εἷς, ὃς ἐπιστατεῖ νύκτα καὶ ἡμέραν μίαν, καὶ πλείω χρόνον οὐκ ἔξεστιν οὐδὲ δὶς τὸν αὐτὸν γενέσθαι, τάς τε κλεῖς (adde τὰς τῶν ἱερῶν), ἐν οἷς τὰ χρήματά εἰσι, φυλάττει καὶ τὰ γράμματα τῆς πόλεως καὶ τὴν δημοσίαν σφραγῖδα. κληροῖ δὲ καὶ προέδρους ἐξ ἑκάστης φυλῆς ἕνα, πλὴν τῆς πρυτανευούσης, καὶ πάλιν ἐκ τούτων ἐπιστάτην ἕνα.

6 Harpocr. πρόεδροι ἐκληροῦντο τῶν πρυτάνεων καθ' ἑκάστην πρυτανείαν, εἷς ἐξ ἑκάστης φυλῆς πλὴν τῆς πρυτανευούσης οἵτινες τὰ περὶ τὴν ἐκκλησίαν (τὰς ἐκκλησίας Epit.) διῴκουν ..... ὅτι δ' ὁ καλούμενος ἐπιστάτης κληροῖ αὐτούς, εἴρηκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ (Epitomen exscr. Phot.II Suid.). — Lex. Bekk. quintum (BA 290,8): πρόεδροι· καὶ προεδρεύειν τί ἐστιν· οἱ ⟨τὰ⟩ περὶ τὰς ἐκκλησίας Ἀθήνησι διοικοῦντες πρόεδροι ἐκαλοῦντο, κληρούμενοι μὲν ὑπὸ τῶν πρυτάνεων καθ' ἑκάστην ἐκκλησίαν ἐξ ἑκάστης φυλῆς. ὠνομάσθησαν δὲ οὕτως ἀπὸ τοῦ προεδρίαν ἔχειν ἐν ταῖς ἐκκλησίαις. Eandem glossam habent Phot.I πρόεδροι: οἱ τὰ περὶ τὰς ἐκκλησίας Ἀθήνησι διοικοῦντες· εἷς (οἷς cod.) ἐκληροῦτο ὑπὸ τῶν πρυτάνεων καθ' ἑκάστην ἐκκλησίαν ἐξ ἑκάστης φυλῆς. πρόεδροι δὲ ὅτι προεδρίαν εἶχον ἐν ταῖς ἐκκλησίαις et Lex. Patm. p. 12 πρόεδροι: οἱ διοικοῦντες τὰ περὶ τὰς ἐκκλησίας καὶ τῆς εὐταξίας ἐπιμελούμενοι, εἷς καθ' ἑκάστην φυλὴν ὑπὸ τῶν πρυτάνεων κληρούμενος (καλούμενος cod.) ..... cf. Schol. Aeschin. III 4.

οὐ φάσκων δεῖν ἄνευ δικαστηρίου γνώσεως οὐδένα τῶν πολιτῶν ἀποθνῄσκειν· καὶ κρίσεως ἐν δικαστηρίῳ γενομένης ὁ μὲν Λυσίμαχος ἀπέφυγεν καὶ ἐπωνυμίαν ἔσχεν ὁ ἀπὸ τοῦ τυπάνου, ὁ δὲ δῆμος ἀφείλετο τῆς βουλῆς τὸ θανατοῦν καὶ δεῖν καὶ χρήμασιν ζημιοῦν, καὶ νόμον ἔθετο, ἄν τινος ἀδικεῖν ἡ βουλὴ καταγνῷ ἢ ζημιώσῃ, τὰς καταγνώσεις καὶ τὰς ἐπιζημιώσεις εἰσάγειν τοὺς θεσμοθέτας εἰς τὸ δικαστήριον, καὶ ὅ τι ἂν οἱ δικασταὶ ψηφίσωνται, τοῦτο κύριον εἶναι.

2 κρίνει δὲ | τὰς ἀρχὰς ἡ βουλὴ τὰς πλείστας, καὶ μάλισθ' ὅσαι χρήματα διαχειρίζουσιν· οὐ κυρία δ' ἡ κρίσις, ἀλλ' ἐφέσιμος εἰς τὸ δικαστήριον. p. 24 ἔξεστι δὲ καὶ τοῖς ἰδιώταις εἰσαγγέλλειν ἣν ἂν βούλωνται τῶν ἀρχῶν μὴ χρῆσθαι τοῖς νόμοις· ἔφεσις δὲ καὶ τούτοις ἐστὶν εἰς τὸ δικαστήριον ἐὰν αὐτῶν ἡ βουλὴ καταγνῷ.

3 δοκιμάζει δὲ καὶ τοὺς βουλευτὰς τοὺς τὸν ὕστερον ἐνιαυτὸν βουλεύσοντας καὶ τοὺς ἐννέα ἄρχοντας. καὶ πρότερον μὲν ἦν ἀποδοκιμάσαι κυρία, νῦν δὲ τούτοις ἔφεσίς ἐστιν εἰς τὸ δικαστήριον.

4 τούτων μὲν οὖν ἄκυρός ἐστιν ἡ βουλή· προβουλεύει δ' εἰς τὸν δῆμον, καὶ οὐκ ἔξεστιν οὐδὲν ἀπροβούλευτον οὐδ' ὅ τι ἂν μὴ προγράψωσιν οἱ πρυτάνεις ψηφίσασθαι τῷ δήμῳ· κατ' αὐτὰ γὰρ ταῦτα ἔνοχός ἐστιν ὁ νικήσας γραφῇ παρανόμων.

XLVI. 1 ἐπιμελεῖται δὲ καὶ τῶν πεποιημένων τριήρων καὶ τῶν σκευῶν καὶ τῶν νεωσοίκων, καὶ ποιεῖται καινὰς [δὲ] τριήρεις ἢ τετρήρεις, ὁποτέρας ἂν ὁ δῆμος χειροτονήσῃ, καὶ σκεύη ταύταις καὶ νεωσοίκους· χειροτονεῖ δ' ἀρχιτέκτονας ὁ δῆμος ἐπὶ τὰς ναῦς. ἂν δὲ μὴ παραδῶσιν ἐξειργασμένα ταῦτα τῇ νέᾳ βουλῇ, τὴν δωρεὰν οὐκ ἔστιν αὐτοῖς λαβεῖν· ἐπὶ γὰρ τῆς ὕστερον βουλῆς λαμβάνουσιν. | ποιεῖται δὲ τὰς τριήρεις, δέκα ἄνδρας ἐξ p. 25 αὐ[τῆς] ἑλομένη τριηροποιούς. 2 ἐξετάζει δὲ καὶ τὰ οἰκοδομήματα τὰ δημόσια πάντα, κἄν τις ἀδικεῖν αὐτῇ δόξῃ, τῷ τε δήμῳ τοῦτον [ἀπ]οφαίνει καὶ καταγνόντος παραδίδωσι δικαστηρίῳ.

XLVII. 1 συνδιοικεῖ δὲ καὶ ταῖς ἄλλαις ἀρχαῖς τὰ πλεῖστα. πρῶτον μὲν γὰρ οἱ ταμίαι τῆς Ἀθηνᾶς εἰσὶ μὲν δέκα, κλη[ροῦτα]ι δ' εἷς ἐκ τῆς

1. 2 πολειτων αποθνησκειν L 2 δικαστεριω L*, corr. L[4] 5 καταγνω η ζημιωση L καὶ om. L*, suprascr. (κ') L[4], ut vid. 8 μαλεισθ L*, corr. L[3] 9 ἐφέσιμος] rasura 1 aut 2 litt. inter ε et φ 12 καταγνω L 13 υστερο . νι L*, νε suprascr. L[4] 13. 14 βουλευσοντες L*, corr. L[4] 16 τουτον L*, corr. L[4] 17 μη om. L*, suprascr. L[3]? 18 τω L 19 γραφη L 22 δῆμος] νομος L*, corr. L[4] χειροτονηση L 23 εξιργαζμενα L*, σ pro ζ L[4] 24 τη νεα βουλη L*, corr. L[4] 25 ποιεῖται] opus incipit scriba quartus (L[4]), in summa pagina scribens γ τομος 26 αὐτῆς Wn, K-W[3], (ἑαυτῆς coni. Wayte) 28 καταγνουσα L, corr. K-W (Bl., S.)

30 Harpocr. s. v. ταμίαι: . . . ἀρχή τις παρ' Ἀθηναίοις ἦν οἱ ταμίαι, δέκα τὸν ἀριθμόν. παραλαμβάνουσι δ' οὗτοι τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς Νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. εἰσὶ δέ τινες καὶ τῶν τριήρων ταμίαι ὡς ὁ αὐτὸς φιλόσοφός φησιν. . . . . . (Epitomen exscr. Phot.[III] [ex quo Et. genuinum, unde Symeo et Et. M. 745,18] et Suid.[II]). — Lex. Bekk. quintum

φυλῆς, ἐκ πεντακοσιομεδίμνων κατὰ τὸν Σόλωνος νόμ[ον (ἔτι γὰρ ὁ] νόμος p.25
κύριός ἐστιν), ἄρχει δ' ὁ λαχὼν κἂν πάνυ πένης ᾖ. παραλαμβάνου[σι] δὲ
τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς Νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ
χρ[ήματ]α ἐναντίον τῆς βουλῆς.

ἔπειθ' οἱ πωληταὶ ῑ μέν εἰσι, κληροῦται δ' εἷς ἐκ τῆς φ[υ]λῆς. 2
[μ]ισθοῦσι δὲ τὰ μισθώματα πάντα, καὶ τὰ μέταλλα πωλοῦσι καὶ τὰ τέλη
μετὰ τοῦ ταμίου τῶν στρατιωτικῶν καὶ τῶν ἐπὶ τὸ θεωρικὸν ᾑρημένων
ἐναντίον τῆς [βουλῆς], καὶ κυροῦσιν ὅτῳ ἂν ἡ βουλὴ χειροτονήσῃ, καὶ τὰ
πραθέντα μέταλλα τά τ' ἐργάσιμα τὰ εἰς τρία ἔτη πεπραμένα καὶ τὰ
συγκεχωρημένα τὰ εἰς ̣ ἔ[τη] πεπραμένα. καὶ τὰς οὐσίας τῶν ἐξ Ἀρείου
πάγου φευγόντων καὶ τῶν ἄλλων ἐναν[τίον τῆς] βουλῆς πωλοῦσιν, κατα-
κυροῦσι δ' οἱ θ̄ ἄρχοντες. καὶ τὰ τέλη τὰ εἰς ἐνιαυτ[ὸ]ν πεπραμένα
ἀναγράψαντες εἰς λελευκωμένα γραμματεῖα τόν τε πριάμενον καὶ [ὅσου] ἂν
πρίηται τῇ βουλῇ παραδιδόασιν. ἀναγράφουσιν δὲ χωρὶς μὲν οὓς δεῖ 3
κατὰ πρ[υτ]ανείαν ἑκάστην καταβάλλειν εἰς δέκα γραμματεῖα, χωρὶς δὲ οὓς
τρὶς τοῦ [ἐ]νιαυτοῦ, γραμματεῖον κατὰ τὴν καταβολὴν ἑκάστην ποιήσαντες,
χωρὶς δ' οὓς [ἐπ]ὶ τῆς ἐνάτης πρυτανείας. ἀναγράφουσι δὲ καὶ τὰ χωρία
καὶ τὰς οἰκίας τά[πο]γρα[φ]έντα καὶ πραθέντα ἐν τῷ δικαστηρίῳ· καὶ γὰρ

5 πωλησαι L[*], corr. L[4] 8 χειροτονηση L 9 τά τ'] ita coni. K-W, leg. Wn; mihi quidem lectio incerta. postea εp scr. et del. L 10 εἰς ̣ ἔτη] numerus γ aut ι esse videtur 11 ἄλλων] αλλ leg. Bl, quod potest verum esse; potest αλλ⁄ (= ἄλλων) esse, quod coni. Kb., Bl[3] 13 γραμματα L[*], corr. L[4] ὅσου] [οσ]α fortasse L, quod retinet Bl 18 τὰ ἀπογραφέντα coni. Wyse, K-W, τἀπογρ. leg. Bl

(BA 306,7) ταμίαι τίνες εἰσὶ καὶ πόσοι: ἄρχοντές εἰσιν Ἀθήνησι, δέκα, ἀπὸ πεντακοσιομεδίμνων, κληρωτοί, οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει χρήματα ἱερά τε καὶ δημόσια καὶ αὐτὸ τὸ ἄγαλμα τῆς θεοῦ καὶ τὸν κόσμον φυλάττουσιν. Eandem glossam habent Phot.[I] (exscr. Etym. genuin. [unde Symeo et Et. M. 745,23]) et Suid.[I] ταμίαι: ἄρχοντές εἰσιν Ἀθήνησιν κληρωτοὶ ἀπὸ τῶν πεντακοσιομεδίμνων, οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει χρήματα ἱερά τε καὶ δημόσια φυλάττουσιν, ἀλλὰ καὶ αὐτὸ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς. εἰσὶ δὲ καὶ ἄλλοι ταμίαι ἄρχοντες χειροτονητοὶ ἐπὶ τὰς ἱερὰς καὶ δημοσίας τριήρεις, ὁ μὲν ἐπὶ τὴν Πάραλον, ὁ δὲ ἐπὶ τὴν τοῦ Ἄμμωνος. Poll. II 97 ταμίαι τῆς θεοῦ κληρωτοὶ μὲν ἐκ πεντακοσιομεδίμνων ἦσαν, τὰ δὲ χρήματα παρελάμβανον τῆς βουλῆς παρούσης.

5 Harpocr. πωληταὶ καὶ πωλητήριον: οἱ μὲν πωληταὶ ἀρχή τίς ἐστιν Ἀθήνησι, δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης. διοικοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ τὰ δημευόμενα. Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρου β'. διείλεκται δὲ περὶ αὐτῶν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. . . . . (Epitomen exscripserunt Phot.[II] et Suid.[II]). Lex. Bekk. quintum (BA 291,17) πωληταὶ τίνες εἰσίν: ἀρχή τις Ἀθήνησίν ἐστιν ἡ (οἱ cod. corr. Bk.) τῶν πωλητῶν (πολιτῶν cod. corr. Bk.), ἀπὸ δέκα ἀνδρῶν οἳ καὶ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ κτήματα δημευόμενα, πωλοῦσι καὶ φροντίζουσιν ὅπως ἡ τιμὴ τῶν πιπρασκομένων ἀποδοθῇ τῇ πόλει (exscr. Etym. M. 698,56); eandem glossam exhibet Lex. Patm. p. 14 . . . πωληταὶ δέ ἐστιν ἀρχὴ παρ' Ἀθηναίοις δέκα ἀνδρῶν, εἷς ἀπὸ ἑκάστης φυλῆς, πάντα τὰ δημόσια τέλη πωλοῦσα. ἐπώλει δὲ καὶ τὰ κτήματα τὰ δημευόμενα. Poll. VIII 99 πωληταὶ τὰ τέλη πιπράσκουσι μετὰ τῶν ἐπὶ τὸ θεωρικὸν ᾑρημένων καὶ τὰς τῶν ἐξ Ἀρείου πάγου μετὰ τὸν πρότερον λόγον φυγόντων οὐσίας καὶ τὰ δεδημευμένα.

ταῦθ' οὗτοι πωλ[οῦσιν. ἔστι] δὲ τῶν μὲν οἰκιῶν ἐν ε̅ ἔτεσιν ἀνάγκη τὴν p.25
τιμὴν ἀποδοῦναι, τῶν δὲ χωρίων ἐν δέκα· καταβάλλουσιν δὲ ταῦτα ἐπὶ τῆς
ἐνάτης πρυτανείας. εἰσφέρει δὲ καὶ ὁ βασιλεὺς τὰς μισθώσεις τῶν 4
τεμενῶν ἀναγράψας ἐν γραμματεί[οις λε]λε[υ]κωμένοις. ἔστι δὲ καὶ τούτων
ἡ μὲν μίσθωσις εἰς ἔτη δέκα, καταβάλλεται δ' ἐπὶ τῆς [θ] πρυτανείας· διὸ
καὶ πλεῖστα χρήματα ἐπὶ ταύτης συλλέγεται τῆς πρυ[τ]ανείας. εἰσφέρεται 5
μὲν οὖν εἰς τὴν βουλὴν τὰ γραμματεῖα κ[ατὰ] τὰς καταβολὰς ἀναγεγραμμένα,
τηρεῖ δ' ὁ δημόσιος· ὅταν δ' ᾖ χρημάτων [κατα]βολή, παραδίδωσι τοῖς ἀπο-
δέκταις αὐτὰ ταῦτα καθελ[ὼν] ἀπ[ὸ τῶν] ἐπιστυλίων ὧν ἐν ταύτῃ τῇ ἡμέρᾳ
δεῖ τὰ χρήματα καταβλη[θῆν]αι κ[αὶ ἀ]παλειφθῆναι· τὰ δ' ἄλλα ἀπόκειται
χωρὶς ἵνα μὴ προεξαλει[φθῇ].

XLVIII. [εἰσὶ] δ' ἀποδέκται δέκα, κεκληρωμένοι κατὰ φυλάς· οὗτοι 1
δὲ παραλαβόντες τὰ [γρα]μματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα
ἐναντίον τ[ῆς βουλῆς] ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασιν τὰ γραμ-
ματεῖα τ[ῷ δη]μοσίῳ· κἄν τις ἐλλίπῃ καταβολήν, ἐνταῦθ' ἐγγέγραπται,
καὶ διπλά[σιον ἀ]νάγκη τὸ [ἐλλ]ειφθὲν καταβάλλειν ἢ δεδέσθαι, καὶ ταῦτα
εἰσπράτ[τειν ἡ βο]υλὴ καὶ δῆσαι [κυ]ρία κατὰ τοὺς νόμους ἐστίν. τῇ 2
μὲν οὖν προτεραίᾳ δέχονται τὰς π[άσα]ς καὶ μερίζουσι ταῖς ἀρχαῖς, τῇ δ'
ὑστεραίᾳ τόν τε μερισμὸν εἰσ[φέρου]σι γράψαντες ἐν σανίδι καὶ καταλέγουσιν
ἐν τῷ βουλευτηρίῳ καὶ προ[τιθ]έασιν ἐν τῇ βουλῇ, εἴ τίς τινα οἶδεν
ἀδικοῦντα περὶ τὸν μερισμ[ὸν ἢ ἄρ]χοντα ἢ ἰδιώτην, καὶ γνώμας ἐπι-
ψηφίζουσιν, ἐάν τίς τι δοκῇ ἀδικ[εῖν.

κ]ληροῦσι δὲ καὶ λογιστὰς ἐξ αὑτῶν οἱ βουλευταὶ δέκα τοὺς λογιου- 3

---

1 πωλουσι fortasse L. 4 τεμενῶν] μενων L, corr. Wyse, al. γρ. λελ. suppl. Jackson, al. 6. 7 φερετ(αι) μ(εν) ο(υν) bis scr. L*, corr. L[4] 7 κατὰ] τα coni. K-W 9 καθελὼν ἀπὸ τῶν H-L 10 καταβληθῆναι καὶ K-W απαλειφηναι L 11 προεξαλείφθῃ K-W 15 εντευθενγραπται L, corr. Herwerden cett. 16 διπλάσιον Bl. [α]ναγκηι L 18 προτεραιδεχ- L*, corr. L[1] πάσας K-W[3], quod potest verum esse 19 το L*, ν suprascr. L[4] εἰσφέρουσι H-L, K-W 21 ιδιοτην L*, corr. L[4]

---

12 Harpocr. ἀποδέκται: ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις οἱ ἀποδέκται ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες καὶ οἱ κωμικοί. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ δεδήλωκεν ὡς δέκα τε ἦσαν (Epit.; εἴησαν codd.) καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ. καὶ ἁπλῶς ἃ πράττουσι διασαφεῖ. . . . . . (Epitomen exscr. Suid.). Lex. Bekk. quintum (BA 198,1; exscr. Symeo, Etym. M. 124,41 et Lex. Bachm. p. 427,13 Bekk.): ἀποδέκται: ἄρχοντες κληρωτοὶ δέκα τὸν ἀριθμὸν κατὰ φυλήν εἰσιν, οἵτινες παρελάμβανον καὶ ἀπεδέχοντο τὰ γραμματεῖα τῶν ὀφειλόντων τῷ δημοσίῳ. διὰ τοῦτο γὰρ καὶ ἀποδέκται ἐκαλοῦντο. εἶτα ἐξήταζον (ἐξήταζον lex. Bachm.; ἐξητάζοντο cod.) τὰ ὀφειλόμενα καὶ τὰ ἀποδιδόμενα χρήματα σὺν τῇ βουλῇ καὶ ἐμέριζον εἰς ἃ χρὴ ἀναλίσκειν.

23 Harpocr. λογισταὶ καὶ λογιστήρια: ἀρχή τις παρ' Ἀθηναίοις οὕτω καλουμένη. εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα, οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις λ̅, ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. διείλεκται περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθύνων (Epitomen exscr. Phot.[11] Suid.[11]). Lex. Bekk. quintum (BA 276,17; exscr. Et. M. 569,32) λογισταί:

μένους τ[αῖς ἀρ]χαῖς κατὰ τὴν πρυτανείαν ἑκάστην. κληροῦσι δὲ καὶ 4
εὐθύνους ἕνα τῆς φυ[λῆς ἑ]κάστης, καὶ παρέδρους β̄ ἑκάστῳ τῶν εὐθύνων, p.26
οἷς ἀναγκαῖόν ἐστι ταῖς α . . . . . αις κατὰ τὸν ἐπώνυμον τὸν τῆς φυλῆς
ἑκάστης καθῆσθαι· κἄν τις βούλ[ηταί] τινι τῶν τὰς εὐθύνας ἐν τῷ δικα-
στηρίῳ δεδωκότων ἐντὸς γ̄ ἡ[μερῶν ἀφ'] ἧς ἔδωκε τὰς εὐθύνας εὔθυναν
ἄν τ' ἰδίαν ἄν τε δ[η]μο[σί]α[ν] ἐμβαλέσθαι, γράψας εἰς πινάκιον λελευκω-
μένον τοὔνομα τό [θ' αὑτο]ῦ καὶ τὸ τοῦ φεύγοντος καὶ τὸ ἀδίκημ' ὅ τι ἂν
ἐγκαλῇ, καὶ τίμημα ἐ[πιγραψ]άμενος ὅ τι ἂν αὐτῷ δοκῇ δίδωσιν τῷ εὐθύνῳ.
ὁ δὲ λαβὼν τοῦτο καὶ ἀν[αγνού]ς, ἐὰν μὲν καταγνῷ παραδίδωσιν τὰ μὲν 5
ἴδια τοῖς δικασταῖς τοῖς κατὰ δήμ[ους τοῖς] τὴν φυλὴν ταύτην εἰσάγουσιν,
τὰ δὲ δημόσια τοῖς θεσμοθέτα[ις ἀ]ναγράφει. οἱ δὲ θεσμοθέται, ἐὰν παρα-
λάβωσιν, πάλιν εἰσάγουσιν [ταύτην τὴν] εὔθυναν εἰς τὸ δικαστήριον, καὶ ὅ
τι ἂν γνῶσιν οἱ δικαστ[αί, τοῦτο κύ]ριόν ἐστιν.

XLIX. δοκιμάζει δὲ καὶ τοὺς ἵππους ἡ βουλή, κἂν μέν τις καλ[ὸν 1

---

3 post α [1] conspicitur; ante αις fortasse λ; sed ρ quoque nonnumquam babet ligaturam (e. g. vv. 27, 55 huius pag.), unde ἀγοραῖς conieci. fortasse autem longius quid desideratur 5 γ̄] potest etiam λ̄ legi; τ̄ Wn, quod incredibile est 6 αν post ευθυναν om. L[*], suprascr. L[4] δημοσίαν Gertz, K-W 7 θ' αὑτοῦ Bl[2] 8 χαλῃι L[*], εγ suprascr. L[4] ἐπιγραψάμενος Herwerden 9 ἀναγνοὺς Bl μὲν del. K-W, Bl 10 τοῖς suppl. Bl, οἳ ego εἰσάγουσιν] δικάζουσιν Richards, K-W 11 συναναγραφει leg. Wn (K-W[3]), sed συν non video; spatium autem non obstat 12 ταύτην suppl. Bl (spatii causa) 13 τοῦτο κύριον H-L, K-W 14. p. 53,1 καλὸν ἵππον K-W; ante ων, χ vel σ vel μ

ἄρχοντές εἰσι κληρωτοί, δέκα τὸν ἀριθμόν, ἐφ' ὧν πάντες οἱ ἄρξαντες ἀρχὴν ἡντινοῦν λόγον ἀπέφερον τῶν διῳκημένων (cf. Lex. Patm. p. 142. Lex. Cant. s. v. λογισταί p. 672,20). Poll. VIII 99 λογισταί. καὶ τούτους ἡ βουλὴ κληροῖ κατ' ἀρχὴν ὡς παρακολουθεῖν τοῖς διοικοῦσιν.

2 Harpocr. s. v. εὔθυναι: . . . εὔθυνοι (εὐθύναι Epit., εὐθύνη codd.) ὄνομα ἀρχῆς παρ' Ἀθηναίοις. δέκα δὲ τὸν ἀριθμὸν ἄνδρες ἦσαν, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες ἢ ἄρξαντες ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας. διείλεκται περὶ αὐτῶν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. (Epitomen exscr. Phot.[II] [ex quo Etym. genuin., unde Symeo et Etym. M. 391,53] et Suid.[II]). — Cf. Phot.[I] ex Boetho (exscr. Et. gen., unde Symeo et Et. M. 391,30) εὔθυναι: οἱ ἀπολογισμοὶ τῶν ἀρξάντων. καὶ εὔθυνοι οἱ τούτους ἀνακρίνοντες. νόμων ιβ· "εἰ δὲ μὴ τούτους κατευθύνειν αὐτοὺς κατευθύνοντα", καὶ μετ' ὀλίγα "διὸ δὴ δεῖ πάντως τοὺς εὐθύνους θαυμαστοὺς πᾶσαν ἀρετὴν εἶναι." ἡμεῖς τούτους λογιστὰς λέγομεν.

14 Hesych. τρυσίππιον: τὸν χαρακτῆρα τὸν ὑπὸ τῆς βουλῆς ἐν ταῖς δοκιμασίαις τοῖς ἀδυνάτοις καὶ τετρυμ[μ]ένοις ⟨τῶν ἵππων ἐπιβαλλόμενον add. Petitus⟩, ἵνα μηκέτι στρατεύωνται, τὸ παλαιὸν ἐκάλουν τρυσίππιον. τροχὸς δ' ἦν ὁ ἐπιβαλλόμενος χαρακτὴρ τῇ γνάθῳ τῶν ἵππων. Eustath. ad δ 762 (1517,8) ἐξ αὐτοῦ (scil. τοῦ τρύω) δὲ καὶ τρύσιππον ὃ τοῖς τετρυμ[μ]ένοις καὶ ἀχρήστοις ἵπποις ἐπιβάλλεται. ἢ κατὰ Αἴλιον Διονύσιον τρυσίππ[ε]ιον τετρασυλλάβως, ἔγκαυμα ἵππου γεγηρακότος, ἐπὶ τῆς γνάθου ὅμοιον τροχῷ. φέρει δὲ αὐτὸς καὶ χρῆσιν Εὐπόλιδος ταύτην· "ἀλλ' ὥσπερ ἵππῳ μοι ἐπιβαλεῖς τρυσίππ[ε]ιον" (Glossam Aelii Dionysii descripsit Phot. s. v. τρυσίππιον). Phot. ἵππου τροχός (ἱππότροχος cod., corr. Naber): τὸ τρυσίππιον, διὰ τὸ τοῖς διὰ γῆρας ἐκτρυχωθεῖσιν ἵπποις ἐκτυποῦσθαι (leg. ἐντυποῦσθαι) τροχὸν ἀπολεγόντων αὐτοὺς τῶν στρατηγῶν. Hesych. ἵππου τροχός: τοῖς γεγηρακόσιν ἵπποις ἐχάραττον ἐπὶ τὴν γνάθον σημεῖον τροχοῦ σχῆμα ἔχον. ἐκαλεῖτο δὲ τρυσίππιον. — Zenob. prov. III 15 (Ath. = Zenob. Par. IV 41) ἵππῳ γηράσκοντι τὰ μείονα

ἵππον ἔχ]ων κακῶς δοκῇ τρέφειν, ζημιοῖ τῷ σίτῳ, τοῖς δὲ μὴ δυναμ[ένοις
ἀκολ]ουθεῖν ἢ μὴ θέλουσι μένειν ἀλλ' ἀνάγουσι, τροχὸν ἐπὶ τὴν γνάθ[ο]ν
[ἐπιβ]άλλει, καὶ ὁ τοῦτο παθὼν ἀδόκιμός ἐστι. δοκιμάζει δὲ καὶ τοὺς
προ[δ]ρ[όμους οἵ]τινες ἂν αὐτῇ δοκῶ[σιν ἐπιτήδειοι προδρομεύειν εἶναι, κἄν p. 26
τιν' ἀποχειροτονήσῃ, καταβέβηκεν οὗτος. δοκιμάζει δὲ καὶ τοὺς ἁμίππους,
κἄν τιν' ἀποχειροτονήσῃ, πέπαυται μισθοφορῶν οὗτος. τοὺς δ' ἱππέας 2
καταλέγουσι μὲν οἱ καταλογεῖς, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ δέκα ἄνδρας·
οὓς δ' ἂν καταλέξωσι παραδιδόασι τοῖς ἱππάρχοις καὶ φυλάρχοις, οὗτοι δὲ
παραλαβόντες εἰσφέρουσι τὸν κατάλογον εἰς τὴν βουλήν, καὶ τὸν πίνακ' ἀνοί-
ξαντες, ἐν ᾧ κατασεσημασμένα τὰ ὀνόματα τῶν ἱππέων ἐστί, τοὺς μὲν
ἐξομνυμένους τῶν πρότερον ἐγγεγραμμένων μὴ δυνατοὺς εἶναι τοῖς σώμασιν
ἱππεύειν ἐξαλείφουσι, τοὺς δὲ κατειλεγμένους καλοῦσι, κἂν μέν τις ἐξομόσηται
μὴ δύνασθαι τῷ σώματι ἱππεύειν ἢ τῇ οὐσίᾳ, τοῦτον ἀφιᾶσιν, τὸν δὲ μὴ
ἐξομνύμενον διαχειροτονοῦσιν οἱ βουλευταὶ πότερον ἐπιτήδειός ἐστιν ἱππεύειν
ἢ οὔ· κἂν μὲν χειροτονήσωσιν, ἐγγράφουσιν εἰς τὸν πίνακα, εἰ δὲ μή, καὶ
τοῦτον ἀφιᾶσιν.

ἔκρινεν δέ ποτε καὶ τὰ παραδείγματα καὶ τὸν πέπλον ἡ βουλή, νῦν 3
δὲ τὸ δικαστήριον τὸ λαχόν· ἐδόκουν γὰρ οὗτοι καταχαρίζεσθαι τὴν κρίσιν.
καὶ τῆς ποιήσεως τῶν Νικῶν καὶ τῶν ἄθλων τῶν εἰς τὰ Παναθήναια
συνεπιμελεῖται μετὰ τοῦ ταμίου τῶν στρατιωτικῶν.

δοκιμάζει δὲ καὶ τοὺς ἀδυνάτους ἡ βουλή· νόμος γάρ ἐστιν ὃς κελεύει 4
τοὺς ἐντὸς τριῶν μνῶν κεκτημένους καὶ τὸ σῶμα πεπηρωμένους ὥστε μὴ

1 δοκη L   2 ἀκολουθεῖν Wyse (e Xen. Mem. III 3, 4)   αναγουσι L*, λλ super να scr. L[1]; ἀνάγουσι K-W[3], ἀλλ' ἀνάγουσι Bl   3 ἐπιβάλλει] fragmentum novum huc attuli, quod hic litteras ̣αλλειχοτ habet, proximo autem versu ̣τινεσανα. coniecturas priores afferre non est necesse   5 τινα προχειροτονησηι L, corr. J. B. Mayor, cett. (item l. 6)   ανιππους L, corr. Newman.   10 κ(ατα)σεσησμ(εν)α L*, corr. inter scribendum L[4]   11 ενγεγραμμ(εν) L*, ων suprascr. L[4]   12 εξαλειφουσι L   εξομησηται L; ἐξομνύηται K-W, Bl   14 ποτηρον L*, corr. L[4]   15 ενγραφουσιν L   22 πεπληρωμενους L*, corr. L ?

κύκλ' ἐπίβαλλε· ταύτης μέμνηται Κράτης ὁ κωμικὸς ἐν Σαμίοις. τάττεται δὲ ἐπὶ τῶν διὰ γῆρας δεομένων ῥαστώνης τινὸς καὶ ἀναπαύλης. μετῆκται δὲ ἀπὸ στρατιωτικῶν ἵππων οἷς ἐπέβαλλον τὸ καλούμενον τρυσίππιον. ἔστι δὲ τοῦτο σιδηροῦς τροχίσκος οἱονεὶ δημόσιος [ὡς] χαρακτὴρ [τροχίσκος], ὃν ἐκπυροῦντες ἐπέβαλλον ταῖς σιαγόσι τῶν ἵππων.

21 Harpocr. s. v. ἀδύνατοι: . . . οἱ ἐντὸς τριῶν μνῶν (μηνῶν codd.) κεκτημένοι ⟨καὶ⟩ τὸ σῶμα πεπηρωμένοι (sic Epitome; πεπηρωμένον codd.). ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ὑπὸ τῆς βουλῆς δύο ὀβολοὺς τῆς ἡμέρας ἑκάστης ἢ ὀβολόν, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. (Epitomen exscr. Suidas). Lexicon Bekk. quintum (BA 200,3) ἀδύνατοι: οἱ μέρος τι βεβλαμμένοι τοῦ σώματος καὶ ἀδύνατοι τοῦ ἐργάζεσθαι καὶ πορίζειν αὐτοῖς τῷ σώματι τὰ ἐπιτήδεια. Eadem glossa plenior extat in lexico Bachmanniano p. 345,15 Bekk. ἀδύνατοι: οἱ μέρος τι βεβλαμμένοι τοῦ σώματος ὡς μηδὲ ἐργάζεσθαι. οἳ καὶ ἐχορηγοῦντο τὰ πρὸς τὸ ζῆν παρὰ τῆς πόλεως, μισθοφορούντων αὐτοῖς τῶν ἐντὸς (ἐν τοῖς cod.) τριῶν μνῶν περιουσίαν κεκτημένων. ἐδοκιμάζοντο δὲ οἱ ἀδύνατοι ὑπὸ τῆς τῶν φ̄ βουλῆς καὶ ἐλάμβανον τῆς ἡμέρας, ὡς μὲν Λυσίας λέγει, ὀβολὸν ἕνα, ὡς δὲ Φιλόχορος, ε̄, Ἀριστοτέλης δὲ β̄ ἔφη. — Hesych. ἀδύνατοι: οἱ ἐντὸς κεκτημένοι τριῶν ⟨μνῶν add. Schmidt⟩ παρὰ Ἀττικοῖς. ἐλάμβανον δὲ παρὰ τῆς βουλῆς δύο ὀβολούς.

δύνασθαι μηδὲν ἔργον ἐργάζεσθαι δοκιμάζειν μὲν τὴν βουλήν, διδόναι δὲ p.26 δημοσίᾳ τροφὴν δύο ὀβολοὺς ἑκάστῳ τῆς ἡμέρας. καὶ ταμίας ἐστὶν αὐτοῖς κληρωτός.

συνδιοικεῖ δὲ καὶ ταῖς ἄλλαις ἀρχαῖς τὰ πλεῖσθ', ὡς ἔπος εἰπεῖν. 5

L. τὰ μὲν οὖν ὑπὸ τῆς βουλῆς διοικούμενα ταῦτ' ἐστίν. κληροῦνται 1
δὲ καὶ ἱερῶν ἐπισκευασταί, δέκα ἄνδρες, οἳ λαμβάνοντες τριάκοντα μνᾶς παρὰ τῶν ἀποδεκτῶν ἐπισκευάζουσιν τὰ μάλιστα δεόμενα τῶν ἱερῶν· καὶ ἀστυνόμοι δέκα· τούτων δὲ ε̅ μὲν ἄρχουσιν ἐν Πειραιεῖ, πέντε δ' ἐν ἄστει, καὶ τάς τε αὐλητρίδας καὶ τὰς ψαλτρίας καὶ τὰς κιθαριστρίας οὗτοι σκοποῦσιν ὅπως μὴ πλείονος ἢ δυεῖν δραχμαῖς μισθωθήσονται, κἂν πλείους τὴν αὐτὴν σπουδάσωσι λαβεῖν οὗτοι διακληροῦσι καὶ τῷ λαχόντι μισθοῦσιν. καὶ ὅπως τῶν κοπρολόγων μηδεὶς ἐντὸς ι̅ σταδίων τοῦ τείχους καταβαλεῖ κόπρον ἐπιμελοῦνται· καὶ τὰς ὁδοὺς κωλύουσι κατοικοδομεῖν καὶ δρυφάκτους ὑπὲρ τῶν ὁδῶν ὑπερτείνειν καὶ ὀχετοὺς εἰς τὴν ὁδὸν ἔκρουν ἔχοντας ποιεῖν καὶ τὰς θυρίδας εἰς τὴν ὁδὸν ἀνοίγειν· καὶ τοὺς ἐν ταῖς ὁδοῖς ἀπογιγνομένους ἀναιροῦσιν, ἔχοντες δημοσίους ὑπηρέτας.

LI. κληροῦνται δὲ καὶ ἀγορανόμοι ⟨ι̅⟩, πέντε μὲν εἰς Πειραιέα, ε̅ δ' 1
εἰς ἄστυ. τούτοις δὲ ὑπὸ τῶν νόμων προστέτακται τῶν ὠνίων ἐπιμελεῖσθαι πάντων, ὅπως καθαρὰ καὶ ἀκίβδηλα πωλήσεται.

κληροῦνται δὲ καὶ μετρονόμοι ⟨ι̅⟩, πέντε μὲν εἰς ἄστυ, ε̅ δὲ εἰς Πει- 2

1 δοκιμαζει δ(ε) L[*], corr. L[4] 4 συνοικει L[*], corr. L[4] 6 λαμβανοντες om. L[*], suprascr. L[4] 8 Πειραει L 9. 10 ουτοσκο- L[*], ι suprascr. L[4] 10 δραχμαῖν H-L, K-W, Bl, S; sed cf. Meisterhans [3], p. 201 11 σπουδαζωσι Bl, K-W 12 εντοσιδιων L[*], στα suprascr. L[4] 13 επιμελονται L 17 ι̅ suppl. Papageorgios, cf. l. 20 et p. 55,3 19 πωληται L, corr. Kaibel (cf. p. 55,1. 2. 5—7) 20 ι Papag. (et ita optime explicatur error ap. Harp.; v. testim.)

8 Harpocr. s. v. ἀστυνόμοι: ... δέκα φησὶν εἶναι τοὺς ἀστυνόμους Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, πέντε μὲν ἐν Πειραιεῖ, πέντε δ' ἐν ἄστει. τούτοις δέ φησι μέλειν περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ τῶν κοπρολόγων καὶ τῶν τοιούτων. (Epitomen exscr. lex. Bachmann. p. 455,24 Bekk. et Suid.)

17 Harpocr. ἀγορανόμοι: οἱ τὰ κατὰ τὴν ἀγορὰν ὤνια διοικοῦντες ἄρχοντες. Δημοσθένης ἐν τῷ κατὰ Τιμάρχου. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ κληροῦσθαί φησι πέντε μὲν εἰς Πειραιᾶ, πέντε δὲ εἰς ἄστυ. (Epitomen exscr. lex. Bachmann. p. 330,13 Bekk. et Suid.) — Lex. Bekk. quintum (BA 199,24, exscr. Et. M. 13,8) ἀγορανόμοι: οἱ ⟨τὰ⟩ κατὰ τὴν ἀγορὰν διοικοῦντες ἄρχοντες. Eandem glossam pleniorem habet Photius Atheniensis (Nachrichten v. d. Kgl. Gesellsch. d. Wiss. zu Göttingen 1896, 324) ἀγορανόμοι: οἱ τὰ κατὰ τὴν ἀγορὰν διοικοῦντες ὤνια ἄρχοντες. δέκα δὲ ἦσαν, ὧν πέντε μὲν τὰ κατὰ τὸ ἄστυ, πέντε δὲ τὰ κατὰ τὴν χώραν διέταττον.

20 Harpocr. s. v. μετρονόμοι: ..... ἦσαν δὲ τὸν ἀριθμὸν ιε, εἰς μὲν τὸν Πειραιᾶ δέκα, πέντε δ' εἰς ἄστυ, εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλούντων, ὡς καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ δηλοῖ. (Epitomen exscr. Phot.[II] et Suid.) — Lex. Bekk. quintum (BA 278,25) μετρονόμοι: ἀρχή τις Ἀθήνησι κληρωτὴ ἡ τῶν μετρονόμων, δέκα τὸν ἀριθμὸν ὧν πέντε μὲν ἦσαν ἐν τῷ Πειραεῖ, ε̅ δὲ ἐν ἄστει. οὗτοι δὲ τὴν ἐπιμέλειαν εἶχον, ὅπως δίκαια ᾖ τὰ μέτρα τῶν πωλούντων. Eandem glossam exhibet Phot.[I] μετρονόμοι: ἄρχοντες ἦσαν δέκα τὸν ἀριθμόν, ὧν πέντε μὲν ἐν ἄστει, πέντε δ' ἐν Πειραιεῖ. καὶ εἶχον τὴν ἐπιμέλειαν ὅπως δίκαια ᾖ τὰ μέτρα τῶν πωλούντων.

ραιέα· καὶ οὗτοι τῶν μέτρων καὶ τῶν σταθμῶν ἐπιμελοῦνται πάντων, ὅπως p.26 οἱ πωλοῦντες χρήσονται δικαίοις.

ἦσαν δὲ καὶ σιτοφύλακες κληρωτοὶ ⟨ῑ⟩, πέντε μὲν εἰς Πειραιέα, 3 πέντε δ' εἰς ἄστυ, νῦν δ' εἴκοσι μὲν εἰς ἄστυ, πεντεκαίδεκα δ' εἰς Πειραιέα. οὗτοι δ' ἐπιμελοῦνται πρῶτον μὲν ὅπως ὁ ἐν ἀγορᾷ σῖτος ἀργὸς ὤνιος ἔσται δικαίως, ἔπειθ' ὅπως οἵ τε μυλωθροὶ πρὸς τὰς τιμὰς τῶν κριθῶν τὰ ἄλφιτα πωλήσουσιν καὶ οἱ ἀρτοπῶλαι πρὸς τὰς τιμὰς τῶν πυρῶν τοὺς ἄρτους καὶ τὸν σταθμὸν ἄγοντας ὅσον ἂν οὗτοι τάξωσιν· ὁ γὰρ νόμος τούτους κελεύει τάττειν.

ἐμπορίου δ' ἐπιμελητὰς δέκα κληροῦσιν· τούτοις δὲ προστέτακται 4 τῶν τ' ἐμπορίων ἐπιμελεῖσθαι, καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ σιτικὸν ἐμπόριον τὰ δύο μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν.

LII. καθ[ισ]τᾶσι δὲ καὶ τοὺς ἕνδεκα κλήρῳ τοὺς ἐπιμελησομένους 1 τῶν ἐν τῷ δεσμωτηρ[ί]ῳ, καὶ τοὺς ἀπαγομένους κλέπτας καὶ τοὺς ἀνδραπο-

---

2 χρησωνται L, corr. Rutherford, al. 3 ῑ add. K-W, ex Harp. 12 σιτικὸν] ἀστικὸν Lex. Bekk. quint., Harp. (v. testim.); Ἀττικὸν Harp. (MSS. nonnulla), quod recipit S.

---

3 Harpocr. s. v. σιτοφύλακες: . . . ἀρχή τις ἦν Ἀθήνησιν ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται, καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. ἦσαν δὲ τὸν ἀριθμὸν ιε (id est ῑ, ε̄) μὲν ἐν ἄστει, πέντε δ' ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. Epitome (exscr. Suid.) σιτοφύλακες: ἀρχή τις ἦν Ἀθήνησιν, ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. ἦσαν δὲ τὸν ἀριθμὸν ιε̄ μὲν ἐν ἄστει, ε̄ δ' ἐν Πειραιεῖ. Photius cum epitoma usque ad ἀριθμὸν plane congruit, deinde ita pergit: πάλαι μὲν πεντεκαίδεκα ἐν ἄστει πέντε δὲ ἐν Πειραιεῖ, ὕστερον λ̄ μὲν ἐν ἄστει, ῑε δὲ ἐν Πειραιεῖ. — Lex. Bekk. quintum (Bekk. An. 300,19) σιτοφύλακες: ἄρχοντες Ἀθήνησι κληρωτοί. οὗτοι δ' ἐπεμελοῦντο, ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι κατὰ τὰς ὡρισμένας τιμὰς καὶ τὸν σταθμόν.

10 Harpocr. s. v. ἐπιμελητὴς ἐμπορίου: . . . . . Ἀριστοτέλης "ἐμπορίου δ' ἐπιμελητὰς δέκα κληροῦσιν, τούτοις δὲ προστέτακται τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ ἀστικὸν ἐμπόριον τὰ δύο μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν." (Epitomen exscr. Suidas et [ex Photio] Et. genuin., unde Symeo et Et. M. 362,6). — Lex. Bekk. quintum (BA 255,22) ἐπιμεληταί: ἐμπορίου ἄρχοντες ἦσαν κληρωτοί, δέκα τὸν ἀριθμὸν ἑκάστου (ἑκάστους cod. corr. Bekker.) ἔτους καθιστάμενοι, οἷς προσετέτακτο τῶν ἐμπορίων ἐπιμελεῖσθαι καὶ τοῦ σίτου ⟨τοῦ add. Bekk.⟩ καταπλέοντος εἰς τὸ ἐμπόριον τὸ ἀστικὸν τὰ δύο μέρη τοὺς ἐμπόρους ἀναγκάζειν ⟨εἰς τὸ ἄστυ κομίζειν⟩. Eandem glossam habent Suid. s. v. ἐπιμεληταί II = [ex Phot.] Et. genuin. [exscr. Et. M. 362,1]: . . . . . ἄλλοι δὲ λέγουσιν ὅτι ἐμπορίου ἄρχοντές εἰσι κληρωτοὶ ἑκάστου ἔτους καθιστάμενοι οἷς προσετέτακτο ἐπιμελεῖσθαι τοῦ καταπλέοντος σίτου εἰς τὸ ἐμπόριον τὸ Ἀττικὸν (sic!) καὶ τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν.

13 Poll. VIII 102 de undecim viris disputans: ἐπεμελοῦντο δὲ τῶν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἀπῆγον κλέπτας, ἀνδραποδιστάς, λωποδύτας, εἰ μὲν ὁμολογοῖεν, θανατώσοντες, εἰ δὲ μή εἰσάξοντες εἰς τὰ δικαστήρια, κἂν ἁλῶσιν, ἀποκτενοῦντες (exscr. schol. Clark. ad Plat. Phaedon. 59 E). — Lex. Bekk. quint. (BA 250,4) ἕνδεκα τίνες εἰσί: κληρωτοὶ ἄρχοντες ἦσαν ια τὸν ἀριθμόν, προϊστάμενοι τοῦ δεσμωτηρίου, καὶ τοὺς ⟨ἀπ⟩αγομένους ἐπὶ κακουργήμασι παρελάμβανον κλέπτας καὶ ἀνδραποδιστὰς καὶ φονεῖς. καὶ τοὺς μὲν ὁμολογοῦντας θανάτῳ ἐζημίουν, τοὺς δὲ ἀμφισβητοῦντας εἰσῆγον εἰς δικαστήριον. Eandem glossa habent et Lex. Patm. p. 13 ἕνδεκα: ἀρχή τις κληρωτή, προϊσταμένη τοῦ δεσμωτηρίου καὶ τοὺς ἀπαγομένους ἐπὶ κακουρ-

διστὰς καὶ τοὺς λωποδύτας, ἂν μὲν [ὁμολογῶ]σι, θανάτῳ ζημιώσοντας, ἂν p.26 δ' ἀμφισβητῶσιν, εἰσάξοντας εἰς τὸ δι[κ]αστήριον, κἂν μὲν ἀποφύγωσιν, ἀφήσοντας, εἰ δὲ μή, τότε θανατώσοντας, καὶ τὰ ἀπογραφόμενα χωρία καὶ οἰκίας εἰσάξοντας εἰς τὸ δικαστήριον, καὶ τὰ δόξαντα δ[η]μόσια εἶναι παραδώσοντας τοῖς πωληταῖς, καὶ τὰς ἐνδείξεις εἰσάξοντας· καὶ γὰρ ταύτας εἰσάγουσιν οἱ ἕνδεκα. εἰσάγουσι δὲ τῶν ἐνδείξεών τινας καὶ οἱ θεσμοθέται.

2 κληροῦσι δὲ καὶ εἰσαγωγέας ε̄ ἄνδρας, οἳ τὰς ἐμμήνους εἰσάγουσι δίκας, δυοῖν φυλαῖν ἕκαστος. εἰσὶ δ' ἔμμηνοι προικός, ἐάν τις ὀφείλων μὴ ἀποδῷ, κἄν τις ἐπὶ δραχμῇ δανεισάμενος ἀποστερῇ, κἄν τις ἐν ἀγορᾷ βουλόμενος ἐργάζεσθαι δανείσηται παρά τινος ἀφορμήν· ἔτι δ' αἰκείας καὶ

1 ὁμολογῶσι] restitutum e paraphrasi in Lex. Bekk. quint. (v. testim.) ζημιωθησοντας L ἂν] ἐν L 2 αμφιβητωσιν L 4 αξοντας L, εις suprascr. L[4] 6 εισαγουσιν male scriptum rescr. L[4] 8 φυλαν L εκαστοις L[*], corr. L[4] μηι L[4], corr. L[1] 9 ἀποδιδῷ coni. Bl, K-W, H-L δανισαμενος L αποστερη L εαν αγοραι L 10 δανισηται L

γήμασι καὶ αἰτίαις παραλαμβάνουσα. καὶ τοὺς μὲν ὁμολογοῦντας τὰ ἀδικήματα κυρία ἦν θανάτῳ ζημιοῦν, τοὺς δ' ἀμφισβητοῦντας ἐφύλαττεν ἐν τῷ δεσμωτηρίῳ μέχρι κρίσεως. καὶ τοὺς μὲν καταγνωσθέντας φαρμάκῳ ἀνῄρουν, τοὺς δὲ τῷ δημίῳ παρεδίδοσαν ἀποκτεῖναι. εἰσῆγον δὲ καὶ τὰ ἐγγραφόμενα χωρία ἢ οἰκίας εἰς δικαστήριον καὶ τὰ δημόσια εἶναι δόξαντα παρεδίδοσαν τοῖς πωληταῖς (πολίταις cod.) ἐκπράττειν et Et. gen. [ex Photio], unde Symeo et Et. M. 338,31 (= Lex. Sabb. 19,22 = Lex. Vindob. 88), ἕνδεκα: κληρωτοὶ ἄρχοντες ἦσαν οὗτοι προεστηκότες τοῦ δεσμωτηρίου καὶ τοὺς ἀπαγομένους κακούργους ἐπὶ θάνατον παραλαμβάνοντες ἐζημίουν, τοὺς δὲ ἀμφισβητοῦντας εἰσῆγον εἰς τὸ δικαστήριον καὶ τὸ γνωσθὲν περὶ αὐτῶν ἔπραττον. εἰσῆγον δὲ καὶ τὰ ἀπογραφόμενα χωρία καὶ οἰκίας καὶ τὰ δημόσια εἶναι δόξαντα παρεδίδουν τοῖς πωληταῖς (πολίταις cod.), εἰσῆγον δὲ καὶ ἐνίας ἐνδείξεις. ῥητορική. Lex. Bekk. quintum (BA 310,15) οἱ ἕνδεκα τοὺς κλέπτας καὶ τοὺς λωποδύτας καὶ ἀνδραποδιστὰς ὁμολογοῦντας μὲν ἀποκτιννύουσιν, ἀντιλέγοντας δὲ εἰσάγουσιν εἰς τὸ δικαστήριον. Eandem glossam habent Phot.[H], Suid.[I] s. v. ἡγεμονία δικαστηρίου: τοῖς ἄρχουσιν οὐ πάσας πᾶσιν ἐφεῖτο δίκας εἰσάγειν, ἀλλὰ . . . . . τοῖς ἕνδεκα ὅσαι (ὅσοι Suid.) λῃστὰς καὶ λωποδύτας καὶ ἀνδραποδιστὰς εἰσάγουσιν. Phot. p. 49,12 Pors. περὶ τῶν ἕνδεκα. ἕνδεκα ἄνδρες ὑπὲρ τετταράκοντα ἔτη γεγονότες κλήρῳ τὴν ἀρχὴν ταύτην ἐλάμβανον. ἐπεμελοῦντο δὲ τῶν ἐν δεσμωτηρίῳ· κλέπτας δὲ καὶ λωποδύτας καὶ ἀνδραποδιστάς, εἰ μὲν ἐπ' αὐτοφώρῳ λάβοιεν, ἐκόλαζον θανάτῳ· εἰ δὲ ἀντιλέγοιεν, εἰς κρίσιν καθίστων. Suid. ἕνδεκα: ἀρχὴ ἐν Ἀθήναις ἐπιμελομένη τῶν ἐν τῷ δεσμωτηρίῳ [κατακρίτων], ἐφ' ἣν ἀνήγοντο (leg. ἀπήγοντο) οἱ κλέπται καὶ οἱ ἀνδραποδισταί. Schol. Ar. Vesp. 1108 (VR) ἡ τῶν ἕνδεκα ἀρχὴ τοὺς μὲν ὁμολογοῦντας ⟨κλέπτας⟩ καὶ ἀνδραποδιστὰς καὶ λωποδύτας θανάτῳ ἐκόλαζον, τοὺς δ' ἀρνουμένους εἰς δικαστήριον εἰσῆγον. εἰσῆγον δὲ καὶ τὰς ἐνδείξεις. — Schol. Luc. IV p. 170 Jac. οἱ ἕνδεκα ἄρχοντες ἦσαν παρὰ Ἀθηναίοις τῶν ἐν τῷ δεσμωτηρίῳ ἐπιμελούμενοι καὶ τοὺς ἀπαγομένους (ἐναγομένους codd.) [ὡς] κλέπτας ἢ ἀνδραποδιστὰς ἢ λωποδύτας, θανάτῳ ζημιοῦσιν, ἐὰν δὲ ἀμφισβητῶσιν, εἰς δικαστήριον εἰσάγουσι καὶ ὅτι ἂν κριθῇ περὶ αὐτῶν ποιοῦσι. καὶ εἴ τις ἄλλος κατακριθῇ θανάτου, οἱ ἕνδεκα τοῦτον παραλαμβάνουσιν. — Lex. Bekk. quintum s. v. ἕνδεκα (BA 250,11): . . . τῶν δὲ ἐνδείξεων εἰσέφερον εἰς δικαστήριον ἃς μὲν οἱ ἕνδεκα, ἃς δὲ οἱ θεσμοθέται. Lex. Sabb. 19,19: . . . τῶν δὲ ἐνδείξεων ἃς μὲν εἰσέφερον εἰς τὸ δικαστήριον οἱ ἕνδεκα, ἃς δὲ οἱ θεσμοθέται. Lex. Patm. p. 16: τῶν δὲ ἐνδείξεων τὰς μὲν οἱ ἕνδεκα εἰσῆγον, τὰς δὲ οἱ θεσμοθέται.

7 Poll. VIII 101 εἰσαγωγεῖς οἱ τὰς ἐμμήνους δίκας εἰσάγοντες. ἦσαν δὲ προικός, ἐρανικαί, ἐμπορικαί. Hesych. εἰσαγωγεῖς (εἰσαγωγή cod., corr. Kaibel-Wilamowitz): ἀρχὴ Ἀθήνησι τῶν τὰ ἐγκλήματα εἰσαγόντων.

ἐρανικαὶ καὶ κοινωνικαὶ καὶ ἀνδραπόδων καὶ ὑποζυγίων καὶ τριηραρχικαὶ p.26
καὶ τραπεζιτικαί. οὗτοι μὲν οὖν ταύτας δικάζουσιν ἐμμήνους εἰσάγ[ον]τες, 3
οἱ δ' ἀποδέκται τοῖς τελώναις καὶ κατὰ τῶν τελωνῶν, τὰ μὲν μέχρι δέκα δραχμῶν ὄντες κύρι[οι], τὰ δ' ἄλλ' εἰς τὸ δικαστήριον εἰσάγοντες ἔμμηνα.

LIII. κληροῦσι δὲ καὶ ⟨τοὺς⟩ τετταράκοντα, τέτταρας ἐκ τῆς φυλῆς 1
ἑκάστης, πρὸς οὓς τὰς ἄλλας δίκας λαγχάνουσιν· οἳ πρότερ[ον] μὲν ἦσαν τριάκοντα καὶ κατὰ δήμους περιόντες ἐδίκαζον, μετὰ δὲ τὴν ἐπὶ τῶν τριάκοντα ὀλιγαρχία[ν] τετταράκοντα γεγόνασιν. καὶ τὰ μὲν | μέχρι δέκα 2
δραχμῶν αὐτοτελεῖς εἰσι δ[ικά]ζε[ι]ν, τὰ δ' ὑπὲρ τοῦτο τὸ τίμημα τοῖς p.27
διαιτηταῖς παραδιδόασιν. οἱ δὲ παραλαβόντες, [ἐ]ὰν μὴ δύνωνται διαλῦσαι,

1. 2 ερανικας .. κοινωνικας .. τριηραρχιας .. τραπεζιτικας L, quae retinet Bl, etiam K-W³ (sed τριηραρχικας); constructio scilicet ad sensum, quasi post εἰσάγουσι. corr. Bury, al. 2 δικαζουμ L*, corr. L⁴ 5 τοὺς add. K-W εκ της φυλ(ης) εκαστης L*, postea φυ^λ casu oblitteratum rescripsit post ἑκαστης L⁴ 7 ἐπὶ om. L*, suprascr. L⁴ 9 δικάζειν recte, ut vid., Wil

3 Poll. VIII 97 ἀποδέκται δὲ ἦσαν δέκα, οἳ τούς τε φόρους καὶ τὰς εἰσφορὰς καὶ τὰ τέλη ὑπεδέχοντο (leg. ἀπεδέχοντο) καὶ τὰ περὶ τούτων ἀμφισβητούμενα ἐδίκαζον, εἰ δέ τι μεῖζον εἴη, εἰσῆγον εἰς δικαστήριον.

5 Harpocr. s. v. κατὰ δήμους δικαστάς: ..... περὶ τῶν κατὰ δήμους δικαστῶν ὡς πρότερον μὲν ἦσαν λ̄ καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο μ̄, εἴρηκεν Ἀριστοτέλης ἐν τῇ πολιτείᾳ. (Epitomen exscr. Phot. Suid.). — Lex. Bekk. quintum (BA 306,15) τετταράκοντα τίνες εἰσίν: ἀρχή τίς ἐστι κληρωτή, τεσσαράκοντα τὸν ἀριθμόν, πρὸς οὓς αἱ ἴδιαι δίκαι ἐλαγχάνοντο καὶ τὰ μέχρι ῑ δραχμῶν. τὰ (τὸ cod., corr. Bekk.) δ' ὑπὲρ τοῦτο τὸ τίμημα τοῖς δικασταῖς παραδιδόασιν. Eandem glossam habet Phot. (exscr. Et. genuin., unde Symeo) τετταράκοντα: κληρωτή τις ἦν Ἀθήνησιν ἀρχή, μ̄ (sic Et. gen.; μετὰ Photii codex) τὸν ἀριθμόν, οἳ τὰς ἰδιωτικὰς δίκας ἐδίκαζον, ἀλλὰ τὰς μὲν ἄχρι δέκα δραχμῶν αὐτοτελεῖς ἦσαν δικάζειν, τὰς δὲ ὑπὲρ ταύτας τοῖς διαιτηταῖς παρεδίδουν. Lex. Bekk. quint. (BA 310,21) ... οἱ τεσσαράκοντα, οὓς ἐχειροτόνουν μάλιστα φυλάττειν τὸν δῆμον, οὗτοι ἕως ἦσαν τριάκοντα, ἕως δέκα δραχμῶν ἐδίκαζον κατὰ δήμους. Poll. II 100 οἱ δὲ τεσσαράκοντα πρότερον μὲν ἦσαν τριάκοντα, οἳ περιιόντες κατὰ δήμους τὰ μέχρι δραχμῶν δέκα ἐδίκαζον, τὰ δ' ὑπὲρ ταῦτα διαιτηταῖς παρεδίδοσαν, μετὰ δὲ τὴν τῶν τριάκοντα ὀλιγαρχίαν μίσει τοῦ ἀριθμοῦ τοῦ τριάκοντα τεσσαράκοντα ἐγένοντο.

10 Harpocr. s. v. διαιτητής: ..... εἰσὶ δὲ οἱ διαιτηταὶ ἕτεροι τῶν δικαστῶν. οὗτοι μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον ἀποδεδειγμένοις καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ⟨δίκας⟩ ἔκρινον. οἱ δὲ διαιτηταὶ κλήρῳ πρότερον λαχόντες ἢ ἐπιτρεψάντων αὐτοῖς τῶν κρινομένων τοῖς κρινομένοις διῄτουν. καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ τὰς μαρτυρίας, ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἑκατέρων ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν. λέγει δὲ περὶ αὐτῶν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. (Epitomen exscr. Suidas). Harpocr. s. v. εἰσαγγελία: ... ἄλλη δὲ εἰσαγγελία ἐστὶ κατὰ τῶν διαιτητῶν· εἰ γάρ τις ὑπὸ τοῦ διαιτητοῦ ἀδικηθείη (ἀδικηθῇ codices meliores et Epitome; corr. deteriores), ἐξῆν τοῦτον εἰσαγγέλλειν πρὸς δικαστὰς καὶ ἁλοὺς ἠτιμοῦτο ... (Epitomen exscr. Suid.III, [ex Photio] Et gen. [unde Symeo], lex. Sabb. 15,27). Lex. Bekk. quintum (BA 235,20) διαιτηταὶ τίνες εἰσίν: κριταί. ἦσαν γὰρ διαιτηταί τινες τῶν ἰδιωτικῶν κριταί. εἰ δέ τινες μὴ ἐπείθοντο τοῖς διαιτηθεῖσιν αὐτοῖς, εἰσῆγον αὐτοὺς εἰς δικαστήριον. ἐγίνοντο δὲ διαιτηταὶ πάντες Ἀθηναῖοι οἷς ἑξηκοστὸν ἔτος ἦν. τὸν δὲ ἀδικοῦντα διαιτητὴν ἐξῆν εἰσαγγέλλειν, καὶ εἴ τις ἑάλω, ἀτιμία ἦν τὸ ἐπιτίμιον. (Inde Et. M. 267,3). Eadem glossa exstat in Schol. Platon. Legg.

γιγνώσκουσι, κἂν μὲν ἀμφοτέροις ἀρέσκῃ τὰ γνωσθέντα καὶ ἐμμένωσιν, ἔχει
τέλος ἡ δίκη. ἂν δ' ὁ ἕτερος ἐφῇ τῶν ἀντιδίκων εἰς τὸ δικαστήριον,
ἐμβαλόντες τὰς μαρτυρίας καὶ τὰς προκλήσεις καὶ τοὺς νόμους εἰς ἐχίνους,
χωρὶς μὲν τὰς τοῦ διώκοντος χωρὶς δὲ τὰς τοῦ φεύγοντος, καὶ τούτους
κατασημηνάμενοι καὶ τὴν γνῶσιν τοῦ διαιτητοῦ γεγραμμένην ἐν γραμματείῳ
προσαρτήσαντες παραδιδόασι το[ῖ]ς δ̅ τοῖς τὴν φυλὴν τοῦ φεύγοντος δικά-
ζουσιν. οἱ δὲ παραλαβόντες εἰσάγουσιν εἰς τὸ δικαστήριον, τὰ μὲν ἐντὸς 3
χιλίων εἰς ἕνα καὶ διακοσίους, τὰ δ' ὑπὲρ χιλίας εἰς ἕνα καὶ τετρακοσίους.
οὐκ ἔξεστι δ' οὔτε νόμοις οὔτε προκλήσεσι οὔτε μαρτυρίαις ἀλλ' ἢ ταῖς παρὰ
τοῦ διαιτητοῦ χρῆσθαι ταῖς εἰς τοὺς ἐχίνους ἐμβεβλημέναις. διαιτηταὶ 4
δ' εἰσὶν οἷς ἂν ἑξηκοστὸν ἔτος ᾖ· τοῦτο δὲ δῆλον ἐκ τῶν ἀρχόντων καὶ
τῶν ἐπωνύμων. εἰσὶ γὰρ ἐπώνυμοι δέκα μὲν οἱ τῶν φυλῶν, δύο δὲ καὶ

---

1 γινωισκουσι L*, γιγ suprascr. L[4] αρεσκη L εμμενουσιν L*, corr. L[4] 2 αντιδικω L*, corr. L[4] 3 ειεχι- L*, corr. L[4] 5 γνωσιν leg. Bl, Wn; non omnino video γν, sed ω satis certum est. post γνωσιν etiam την K-W (? Wn), contra pap. 6 τ(ης) φυ^{λ} L, corr. K-W, al.

---

920 D διαιτηταί εἰσιν ἐν οἷς Ἀθήνησιν εἰσήγοντο αἱ ἰδιωτικαὶ δίκαι. εἰ δέ τινες μὴ ἐπείθοντο τοῖς διαιτηθεῖσιν αὐτοῖς (αὐτοὶ codd.), εἰσῆγον αὐτοὺς εἰς τὸ δικαστήριον καὶ παρὰ τοὺς δικαστάς. ἐγίνοντο δὲ διαιτηταὶ πάντες Ἀθηναῖοι οἷς ἑξηκοστὸν ἦν ἔτος. τὸν δὲ ἀδικοῦντα διαιτητὴν ἐξῆν εἰσαγγέλλειν, καὶ εἴ τις ἑάλω, ἀτιμία ἦν τὸ ἐπιτίμιον et in Lexic. Patm. p. 13: διαιτητής, διαιτηταί· οὗτοι ὑπὲρ ἑξήκοντα ἔτη ἐγεγόνεισαν. ἐδίκαζον δὲ τὰς ἰδιωτικὰς δίκας. εἰ δέ τινες αὐτοῖς δικάζουσιν οὐκ ἐπείθοντο. ἐξῆν δὲ καὶ τὸν διαιτητὴν εἰσαγγέλλειν περὶ ὧν ἐδίκασε (leg. ἠδίκησε), καὶ εἰ ἑάλω, ἄτιμος ἐγίνετο. Hesych. διαιτηταί: Ἀθήνησιν ἕτεροί τινες τῶν δικαστῶν, οἷς ἐπέτρεπον οἱ ἀμφισβητοῦντες τὰ ἐγκλήματα, καὶ αὐτοὶ (leg. οὗτοι) διῄτων (nonnulla exciderunt) εἰ δὲ μή, ἀνέπεμπον ἐπὶ τοὺς δικαστάς. οἱ δὲ περὶ ἑξήκοντα ἔτη γεγονότες διῄτων. Poll. VIII 126 sqq. Aristotelea cum alienis videtur coniunxisse. atque ab Aristotele quidem haec possunt sumpta esse: 126 διαιτηταὶ δ' ἐκ τῶν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότων ἐκληροῦντο καὶ ἐπεκληροῦντο αὐτοῖς αἱ δίαιται καὶ ἀτιμία ἀφώριστο τῷ μὴ διαιτήσαντι τὴν ἐπικληρωθεῖσαν δίαιταν, et 127 ἡ δ' ἔφεσις αὐτῶν εἰ εἰς δικαστήριον γένοιτο, εἰς ἐχῖνον τὰς ψήφους ἐμβαλόντες ἰδίᾳ ἑκατέρας τὰς τοῦ φεύγοντος καὶ διώκοντος κατεσημαίνοντο. Reliqua ab Aristotele non pendent.

3 Harpocr. ἐχῖνός ἐστι μὲν ἄγγος τι εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. μνημονεύει τοῦ ἄγγους τούτου καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ ..... (Epitomen exscr. Phot.[1] [ex quo Etym. gen., unde Symeo et Et. M. 404,53] et Suid.[IV]).

12 Harpocr. s. v. στρατεία ἐν τοῖς ἐπωνύμοις: ..... τίς ἦν ἡ (ἡ Epit., om. codd.) ἐν τοῖς ἐπωνύμοις στρατεία, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ λέγων. "εἰσὶ γὰρ ἐπώνυμοι δέκα μὲν οἱ τῶν φυλῶν, δύο δὲ καὶ τεσσαράκοντα οἱ τῶν ἡλικιῶν. οἱ δὲ ἔφηβοι ἐγγραφόμενοι πρότερον μὲν εἰς λελευκωμένα γραμματεῖα ἐνεγράφοντο καὶ ἐπεγράφοντο αὐτοῖς ὅ τε ἄρχων ἐφ' οὗ ἐνεγράφησαν (ἐπεγρ. codd. corr. Bekker) καὶ ἐπώνυμος ὁ τῷ προτέρῳ ἔτει δεδιαιτηκώς (δὲ δεικτικῶς codd.), νῦν δὲ εἰς τὴν βουλὴν ἀναγράφονται". καὶ μετ' ὀλίγα· "χρῶνται δὲ τοῖς ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας καὶ ὅταν ἡλικίαν ἐκπέμπωσι, προσγράφουσιν (sic codd.: ὡς γράφουσιν Epitome, corr. Valesius) ἀπὸ τίνος ἄρχοντος ἐπωνύμου μέχρι τίνος δεῖ στρατεύεσθαι ... (Epit. exscr. Phot. et Suid.) — Harpocr. s. v. ἐπώνυμοι: ..... διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν δέκα τὸν ἀριθμόν, ἀφ' ὧν αἱ φυλαί, ἕτεροι δὲ δύο καὶ τεσσαράκοντα, ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ' ἕκαστον ἔτος, ἀπὸ ὀκτὼ καὶ δέκα ἐτῶν μέχρις

τετταράκοντα οἱ τῶν ἡλικιῶν· οἱ δὲ ἔφηβοι ἐγγραφόμενοι πρότερον μὲν εἰς p.27
λελευκωμένα γραμματεῖα ἐνεγράφοντο, καὶ ἐπεγράφοντο αὐτοῖς ὅ τ' ἄρχων
ἐφ' οὗ ἐνεγράφησαν καὶ ὁ ἐπώνυμος ὁ τῷ προτέρῳ ἔτει δεδιαιτηκώς, νῦν
δ' εἰς στήλην χαλκῆν ἀναγράφονται, καὶ ἵσταται ἡ στήλη πρὸ τοῦ βουλευ-
τηρίου παρὰ τοὺς ἐπωνύμους. τὸν δὲ τελευταῖον τῶν ἐπωνύμων λαβόντες 5
οἱ τετταράκοντα διανέμουσιν αὐτοῖς τὰς διαίτας καὶ ἐπικληροῦσιν ἃς ἕκαστος
διαιτήσει· καὶ ἀναγκαῖον ἃς ἂν ἕκαστος λάχῃ διαίτας ἐκδιαιτᾶν. ὁ γὰρ
νόμος, ἄν τις μὴ γένηται διαιτητὴς τῆς ἡλικίας αὐτῷ καθηκούσης, ἄτιμον
εἶναι κελεύει, πλὴν ἐὰν τύχῃ ἀρχὴν ἄρχων τι[ν]ὰ ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ
ἢ ἀποδημῶν· οὗτοι δ' ἀτελεῖς εἰσὶ μόνοι. ἔστιν δὲ καὶ εἰσαγγέλλειν εἰς 6
τοὺς διαιτητάς, ἐάν τις ἀδικηθῇ ὑπὸ τοῦ διαιτητοῦ, κἄν τινος καταγνῶσιν,
ἀτιμοῦσθαι κελεύουσιν οἱ νόμοι· ἔφεσις δ' ἔστι καὶ τούτοις. χρῶνται 7
δὲ τοῖς ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας, καὶ ὅταν ἡλικίαν ἐκπέμπωσι
προγράφουσιν, ἀπὸ τίνος ἄρχοντος καὶ ἐπωνύμ[ου] μέχρι τίνων δεῖ στρα-
τεύεσθαι.

LIV. κληροῦσι δὲ καὶ τάσδε τὰς ἀρχάς· ὁδοποιοὺς πέντε οἷς προσ- 1
τέτακται δημοσίους ἐργάτας ἔχουσι τὰς ὁδοὺς ἐπισκευάζειν. καὶ λογιστὰς 2
δέκα καὶ συνηγόρους τούτοις δέκα, πρὸς οὓς ἅπαντας ἀνάγκη τοὺς τὰς

---

1 ενγραφομένοι L   3 προτερωι L, Harp.; πρότερον K-W, Bl   5 παρὰ] π-, sc. περὶ, L   κ(αι) τον τελευταιον L*, corr. inter scribendum L[4]   επωνυμω L*, ν suprascr. L[4]   9 τυχη L   11 διαιτητάς] δικαστάς Harp., Lex. Bekk. quint. (v. testim.); verba eadem inter se confundit et Lex Bekk. quint. 306,15; v. testim. ad p. 57,5)   αδικηθη L   16. 17 προτετακται L*, corr. L[4]   17 επισκευασειν L*, ut vid., corr. L[4]

ἑξήκοντα. (Epitomen exscr. Phot.[I] et Suid.[I]). — Lex. Bekk. quintum (BA 245,17) ἐπώνυμοι: ἄρχοντες δισσοί εἰσιν, οἱ μὲν τεσσαράκοντα δύο τῶν ἡλικιῶν, οἱ δὲ δέκα τὸν ἀριθμόν, ἀφ' ὧν αἱ φυλαὶ προσηγορεύθησαν. Ad eandem glossam redeunt quae habet (ex Photio) Etym. gen. (unde Et. M. 369,15) . . . . . ἐπώνυμοι: διττοί εἰσιν οὗτοι, οἱ μὲν λεγόμενοι τῶν ἡλικιῶν, καὶ εἰσὶ δύο καὶ τεσσαράκοντα, οἳ καλοῦνται καὶ λήξεων ἐπώνυμοι, οἱ δὲ δέκα, ἀφ' ὧν αἱ φυλαὶ προσηγορεύθησαν, οἷον Ἐρεχθεύς, Αἰγεύς κτλ. (cf. supra ad 21,6). —

10 Cf. testimon. ad p. 57,10 allata.

13 Cf. testimon. ad p. 58,12 allata.

17 Schol. Ar. Vesp. 691 (V) κληρωτοὺς δὲ γενομένους δέκα συνηγόρους Ἀριστοτέλης φησίν. Lex. Bekk. quintum (BA 310,6) s. v. τίνες ποίων δικαστηρίων εἶχον τὴν ἡγεμονίαν: . . . . . οἱ λογισταὶ τὰς εὐθύνας ἁπάσας εἰσῆγον. Phot.[II] = Suid.[I] ἡγεμονία δικαστηρίου: τοῖς ἄρχουσιν οὐ πάσας πᾶσιν ἐφεῖτο δίκας εἰσάγειν, ἀλλά . . . . . τοῖς δὲ λογισταῖς τὰς κατὰ τῶν ἀρξάντων εὐθύνας. — Lex. Bekk. quintum (BA 245,6: exscr. lexicon Bekk. quartum, BA 187,3) = Lex. Bachmann. p. 240,10 (exscr. Suid. et Phot., unde Et. gen., ex quo Symeo et Et. M. 391,56) εὐθύνας: κυρίως ἃς εἰσάγουσιν οἱ λογισταὶ πρὸς τοὺς δόξαντας μὴ ὀρθῶς ἄρξαι τῆς πόλεως ἢ πρεσβεῦσαι κακῶς. καὶ τὰ δικαστήρια μὲν οἱ λογισταὶ κληροῦσιν, κατηγορεῖ δὲ ὁ βουλόμενος καὶ τοῖς δικασταῖς ἐφεῖται τιμᾶσθαι τοῖς ἁλοῦσιν. Eandem glossam habent Lex. Patm. p. 142 εὔθυνα: ἣν εἰσῆγον οἱ λογισταὶ κατὰ τῶν δοξάντων μὴ ὀρθῶς ἄρξαι ἢ παραπρεσβεῦσαι ἢ ὅλως δημόσιόν τι καὶ κοινὸν διαχειρισάντων. κατηγόρει δὲ ὁ βουλόμενος καὶ τοῖς δικασταῖς ἐφεῖτο τιμᾶν ὅσον ἐβούλοντο, et Lex. Cant. p. 670,12 = Schol. Plat. Legg. 945 D. εὐθυνά (εὐθύνη schol. εὐθυνία lex. Cant.) ἐστι κρίσις κατὰ τῶν ἀρξάντων ἢ πρεσβευσάντων ἤ τι τῶν τῆς πόλεως χειρισάντων (χειρωσάντων lex. Cant.) ὅλως. — Lex. Cantabr.

ἀρχὰς ἄρξ[αντ]ας λόγον ἀπενεγκεῖν. οὗτοι γάρ εἰσι μόνοι ⟨οἱ⟩ τοῖς ὑπευθύνοις p.27 λογιζόμενοι καὶ τὰς εὐθύνας εἰς τὸ δικαστήριον εἰσάγοντες. κἂν μέν τινα κλέπτοντ' ἐξελέγξωσι, κλοπὴν οἱ δικασταὶ καταγιγνώσκουσι καὶ τὸ γνωσθὲν ἀποτίνεται δεκαπλοῦν· ἐὰν δέ τινα δῶρα λαβόντα ἐπιδείξωσιν καὶ καταγνῶσιν οἱ δικασταί, δώρων τιμῶσιν, ἀποτίνεται δὲ καὶ τοῦτο δεκαπλοῦν· ἂν δ' ἀδικεῖν καταγνῶσιν, ἀδικίου τιμῶσιν, ἀποτίνεται δὲ τοῦθ' ἁπλοῦν ἐὰν πρὸ τῆς θ̄ πρυτανείας ἐκτείσῃ τις, εἰ δὲ μή, διπλοῦται. τὸ ⟨δὲ⟩ δεκαπλοῦν οὐ διπλοῦται.

κληροῦσι δὲ καὶ γραμματέα τὸν κατὰ πρυτανείαν καλούμενον, ὃς τῶν 3 γραμμάτων ἐστὶ κύριος καὶ τὰ ψηφίσματα τὰ γιγνόμενα φυλάττει, καὶ τἆλλα πάντα ἀντιγράφεται καὶ παρακάθηται τῇ βουλῇ. πρότερον μὲν οὖν οὗτος ἦν χειροτονητός, καὶ τοὺς ἐνδοξοτάτους καὶ πιστοτάτους ἐχ[ει]ροτόνουν· καὶ γὰρ ἐν ταῖς στήλαις πρὸς ταῖς συμμαχίαις καὶ προξενί[αι]ς καὶ πολιτείαις οὗτος ἀναγράφεται· νῦν δὲ γέγονε κληρωτός. κληροῦσι δὲ καὶ ἐπὶ τοὺς 4 νόμους ἕτερον ὃς παρακάθηται τῇ βουλῇ, καὶ ἀντιγράφεται καὶ οὗτος

1 μονοι | τοις L, οἱ add. J. B. Mayor; εἰσιν οἱ μόνοι Bl, K-W[3] 3 καταγινωισκουσι L*, ι post ω del. L[4], puncto superposito 7 τ(ης) male scriptum rescr. L[4] εκτισηι L 10 γραμματων Harp., Poll.; -τεω(ν) L. post γρ., τ' add. Harp. (exc. MSS. BC), quem sequuntur Bl, K-W[3]; sed illic necesse fuit τε inserere propter formam locutionis (v. testim.) γινομενα L, γενομενα Harp. (exc. MS. B) 12 απιστοτατους L 14. 15 επι τουτοις ν[ο]μον ετερον L; corr. ex Poll.

672,20 λογισταὶ καὶ συνήγοροι: Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ οὕτω λέγει "λογισταὶ δὲ αἱροῦνται (κληροῦνται Blass) δέκα παρ' οἷς διαλογίζονται πᾶσαι αἱ ἀρχαὶ τά τε λήμματα καὶ τὰς γεγενημένας δαπάνας καὶ ἄλλοις δέκα συνηγόροις· οἵ τινες συνανακρίνουσι τούτοις· καὶ οἱ τὰς εὐθύνας διδόντες παρὰ τούτοις ἀνακρίνοντες πρῶτον, εἶτα ἐφίεται εἰς τὸ δικαστήριον εἰς ἕνα καὶ πεντακοσίους.

6 Harpocr. s. v. ἀδικίου: ..... ἀποτίνυται δὲ τοῦτο ἁπλοῦν, ἐὰν πρὸ τῆς θ̄ πρυτανείας ἀποδοθῇ, εἰ δὲ μή, διπλοῦν καταβάλλεται. (Epitomen exscr. Phot.[1], Suid., Lex. Bachm. 341,29 Bekk.)

9 Harpocr. s. v. γραμματεύς: ..... ὁ γραμματεὺς πῶς τε καθίστατο καὶ τί ἔπραττεν ὡς τῶν γραμμάτων τέ ἐστι κύριος καὶ τὰ ψηφίσματα τὰ γινόμενα φυλάττει καὶ τὰ ἄλλα πάντα ἀντιγράφεται, καὶ παρακάθηται τῇ βουλῇ, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. — Harpocr. s. v. ἀντιγραφεύς: ..... διττοὶ δ' ἦσαν ἀντιγραφεῖς, ὁ μὲν τῆς διοικήσεως, ὥς φησι Φιλόχορος, ὁ δὲ τῆς βουλῆς, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. (Epitomen exscr. Lex. Bachm. p. 410,6 Bk. et Suid.). — Poll. VIII 98 γραμματεὺς ὁ κατὰ πρυτανείαν κληρωθεὶς ὑπὸ τῆς βουλῆς ἐπὶ τῷ τὰ γράμματα φυλάττειν καὶ τὰ ψηφίσματα καὶ ἕτερος ἐπὶ τοὺς νόμους ὑπὸ τῆς βουλῆς χειροτονούμενος. ὁ δ' ὑπὸ τοῦ δήμου αἱρεθεὶς γραμματεὺς ἀναγινώσκει τῷ τε δήμῳ καὶ τῇ βουλῇ. — Lex. Bekk. quintum (BA 226,30) γραμματεύς: καὶ τὸν γραμματέα [ὁ δῆμος] χειροτονεῖ ὁ δῆμος. ἀναγνωσόμενον αὐτῷ καὶ τῇ βουλῇ. καὶ οὗτος οὐδενὸς τὸ συνόλον ἄλλου ἐστὶ κύριος ἢ τοῦ ἀναγνῶναι. Suid. γραμματεύς[II]: ... κληρωτοὶ δὲ ἦσαν τὸν ἀριθμὸν τρεῖς, γράφοντες τὰ δημόσια. οὐδενὸς δὲ ἦσαν κύριοι ἀλλ' ἢ τοῦ γράφειν καὶ ἀναγνῶναι. Lex. Bekk. quartum (BA 185,14) γραμματεύς: ὁ ἀναγινώσκων τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ προστεταγμένα (leg. πραττόμενα). κατὰ χρόνον ⟨δ'⟩ ἠλλάσσετο. ὁ δὲ καταγραφόμενος (leg. ἀντιγραφόμενος) τὰ ἐν τῇ βουλῇ γινόμενα ἀντιγραφεὺς ἐλέγετο. Suid. s. v. γραμματεύς[I] = Lex. Sabb. 7,2: γραμματεύς· οὗτος πράξεως μὲν οὐδεμιᾶς ἦν κύριος, ὑπανεγίνωσκε δὲ τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ πραττόμενα. ὁ δ' ἀντιγραφεὺς καὶ οὗτος ἀπὸ τοῦ γράφειν τὰ παρὰ τῇ βουλῇ ὠνόμασται.

πάντας. χειροτονεῖ δὲ καὶ ὁ δῆμος γραμματέα τὸν ἀναγνωσόμενον αὐτῷ 5
καὶ τῇ βουλῇ, καὶ οὗτος οὐδενός ἐστι κύ[ρι]ος ἀλλὰ τοῦ ἀναγνῶναι. p.27
κληροῖ δὲ καὶ ἱεροποιοὺς δέκα, τοὺς ἐπὶ τὰ ἐκθύματα καλουμένους, 6
[οἳ] τά τε μ[αν]τευτὰ ἱερὰ θύουσιν, κἄν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι μετὰ τῶν μάντε[ων]. κληροῖ δὲ καὶ ἑτέρους δέκα, τοὺς κατ' ἐνιαυτὸν 7
καλουμένους, οἳ θυσίας τέ τινας θύουσι [καὶ τ]ὰς πεντετηρίδας ἁπάσας διοικοῦσιν πλὴν Παναθηναίων. ε[ἰσὶ δ]ὲ πεντετηρίδες μία μ[ὲν ἡ εἰ]ς Δῆλον (ἔστι δὲ καὶ ἑπ[τ]ετηρὶς ἐνταῦθα), δευτέρα δὲ Βραυρώνια, τρίτη [δ' Ἡράκλε]ια, τετάρτη [δ]' Ἐλευσ[ίν]ια, ε̄ δὲ Πα[ν]αθήναια· καὶ τούτων οὐδεμία ἐν τῷ αὐτῷ ἐγγίγνε[ται. νῦν] δὲ πρόσκειται [καὶ Ἡ]φαίσ[τια] ἐπὶ Κηφισοφῶντος ἄρχοντος.
κληροῦσι δὲ καὶ εἰς Σαλαμῖνα ἄρχοντα, καὶ εἰς Πει[ραι]έα 8
δήμαρχον, οἳ τά τε Διονύσια ποιοῦσιν ἑκατέρωθι καὶ χορηγοὺς καθιστᾶσιν. ἐν Σαλαμ[ῖνι] δὲ καὶ τοὔ[ν]ομα τοῦ ἄρχοντος ἀναγράφεται.
LV. αὗται μὲν οὖν αἱ ἀρχαὶ κληρωταί τε καὶ κύριαι τῶν εἰ[ρη]μένων 1
[πάντ]ων εἰσίν. οἱ δὲ καλούμενοι ἐννέα ἄρχοντες τὸ μὲν ἐξ ἀρχῆς ὃν

---

2 ἀλλὰ] ἀλλ' ἢ Bl, cum Suid., et hoc apud Ar. maxime usitatur; cf. autem Bonitz, Ind. Ar. 33b 8 επ[τ]ηρις L*, corr. L[4] 9 Ἡράκλεια e Poll. restitutum; relliquias cum hoc congruere negat Wn, sed dubito; ante α videtur ι (et fortasse ει) fuisse, non τ ut dicit Wn ε̄ nunc clare legitur amoto frustulo papyraceo quod obscurabat 10 ουδ(ε)αμια L, ut vid. γινε . . . L*, εν suprascr. L[4] νῦν suppl. Bl π'κειται L*, ρος suprascr. L[4?] καὶ Ἡφαίστια suppl. Bl; vestigia cum τια congruunt 11 Κηφισοφοντος L*, corr. L[4] 13 ποιοῦσι L 16 πάντων] ἁπάντων Papageorgios, Bl[2]; πράξεων Kaibel (K-W[3])

3 Poll. VIII 107 ἱεροποιοί: δέκα ὄντες οὗτοι ἔθυον θυσίας τὰς πεντετηρίδας, τὴν εἰς Δῆλον, τὴν ἐν Βραυρῶνι, τὴν τῶν Ἡρακλείων (ἡρακλειδῶν libri, corr. Jungermann), τὴν Ἐλευσῖνι. — Lex. Bekk. quintum (BA 265,22) ἱεροποιοί: κληρωτοὶ ἄρχοντες, εἰσὶ δὲ δέκα τὸν ἀριθμόν, οἳ τά τε μαντεύματα ἱεροθυτοῦσι, κἄν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι μετὰ τῶν μάντεων καὶ θυσίας τὰς νομιζομένας ἐπιτελοῦσι καὶ τὰς πενταετηρίδας ἁπάσας διοικοῦσιν πλὴν Παναθηναίων. Eandem glossam habet Phot. ἱεροποιοί: κληρωτοὶ ἄρχοντες, δέκα τὸν ἀριθμόν, οἳ τά τε μαντεύματα ἱεροθυτοῦσι, κἄν τις καλλιερήσῃ, συγκαλλιεροῦσι τοῖς μαντεύμασι, καὶ θυσίας τὰς νομιζομένας ἐπιτελοῦσι καὶ τὰς πενταετηρίδας ἁπάσας διοικοῦσι πλὴν Παναθηναίων. εἰσὶ δὲ καὶ ἄλλοι ἱεροποιοὶ τῶν σεμνῶν θεῶν οἳ τὸν ἀριθμόν εἰσιν ἀόριστοι. Item Lex. Patm. p. 11 ἱεροποιοί: κληρωτοὶ ἄρχοντες δέκα οἳ τὰ μεμαντευμένα ἱερὰ θύουσιν. εἰσὶ δὲ καὶ ἄλλοι τῶν σεμνῶν θεῶν. Photii glossam usque ad ἐπιτελοῦσιν exscr. Etym. genuin., ex quo Symeo; auctor Etymol. Magni loco glossae Photianae, quam ex Etym. genuino sumere poterat, e codice suo lexici Bekkeriani quinti eandem glossam deprompsit ita ut scriberet κἄν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι μετὰ τῶν μάντεων, et post πλὴν Παναθηναίων sic pergeret: ταῦτα δ' Ἀριστοτέλης ἱστορεῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Δημοσθένης κτλ.

16 Poll. VIII 85 sq. ἀρχόντων δὲ τῶν Ἀθήνησιν ὀνόματα οἱ ἐννέα ἄρχοντες. εἰσὶ δὲ ὁ τοῦ ἐνιαυτοῦ ἐπώνυμος ἄρχων, βασιλεύς, πολέμαρχος καὶ θεσμοθέται ἕξ· ἐκ τούτων γὰρ οἱ ἐννέα συμπληροῦνται. ἐκαλεῖτο δέ τις θεσμοθετῶν ἀνάκρισις, εἰ Ἀθηναῖοί εἰσιν ἑκατέρωθεν ἐκ τριγονίας καὶ τῶν δήμων πόθεν καὶ εἰ Ἀπόλλων ἐστὶν αὐτοῖς πατρῷος καὶ Ζεὺς ἕρκιος καὶ εἰ τοὺς γονέας εὖ ποιοῦσιν, καὶ εἰ ἐστράτευνται ὑπὲρ τῆς πατρίδος καὶ εἰ τὸ τίμημα ἔστιν αὐτοῖς. ἐπηρώτα δ' ἡ βουλή, ὤμνυον δ' οὗτοι πρὸς τῇ βασιλείῳ στοᾷ ἐπὶ τοῦ λίθου, ὑφ' ᾧ τὰ ταμιεῖα, συμφυλάξειν τοὺς νόμους καὶ μὴ δωροδοκήσειν ἢ χρυσοῦν ἀνδριάντα ἀποτίσειν. εἶτα ἐντεῦθεν εἰς ἀκρόπολιν ἀνελθόντες ὤμνυον ταὐτά. Lex. Cantabr. 670,14: Θεσμοθετῶν

τρόπον καθίσταντο [εἴρ]ηται· [νῦν] δὲ κληροῦσιν θεσμοθέτας μὲν ἓξ καὶ
γραμματέα τούτοις, ἔτι δ' ἄρχοντα καὶ βασιλ[έ]α καὶ πολέμαρχον κατὰ
μέρος ἐξ ἑκάστης φυλῆς. δοκιμάζονται δ' οὗτοι πρῶτον μὲν ἐν τῇ 2
β[ουλ]ῇ τοῖς φ̄ πλὴν τοῦ γραμματέως, οὗτος δ' ἐν δικαστηρίῳ μόνον ὥσπερ
οἱ ἄλλοι ἄρχοντ[ες] (πάντες γὰρ καὶ οἱ κληρωτοὶ καὶ οἱ χειροτονητοὶ
δοκιμασθέντες ἄρχουσιν), οἱ δ' ἐννέα ἄ[ρ]χοντες ἔν τε τῇ βουλῇ καὶ πάλιν
ἐν δικαστηρίῳ. καὶ πρότερον μὲν οὐκ ἦρχεν ὅντ[ιν'] ἀποδοκιμάσειεν ἡ
βουλή, νῦν δ' ἔφεσίς ἐστιν εἰς τὸ δικαστήριον, καὶ τοῦτο κύριόν ἐστι τῆς
δοκιμ[α]σίας. ἐπερωτῶσιν δ', ὅταν δοκιμάζωσιν, πρῶτον μὲν 'τίς 3
σοι πατὴρ καὶ πόθεν τῶν δήμων, καὶ τίς πατρὸς πατήρ, καὶ τίς μήτηρ, p. 28
καὶ τίς μητρὸς πατὴρ καὶ πόθεν τῶν δήμων'; μετὰ δὲ ταῦτα, εἰ ἔστιν
αὐτῷ Ἀπόλλων πατρῷος καὶ Ζεὺς ἑρκεῖος, καὶ ποῦ ταῦτα τὰ ἱερά ἐστιν,
εἶτα ἠρία εἰ ἔστιν καὶ ποῦ ταῦτα, ἔπειτα γονέας εἰ εὖ ποιεῖ, [καὶ] τὰ
τέλη ⟨εἰ⟩ τελεῖ, καὶ τὰς στρατείας εἰ ἐστράτευται. ταῦτα δ' ἀνερωτήσας
'κ[ά]λει', φησίν, 'τούτων τοὺς μάρτυρας'. ἐπειδὰν δὲ παράσχηται τοὺς 4
μάρτυρας, ἐπερωτᾷ 'τούτου βούλεταί τις κατηγορεῖν'; κἂν μὲν ᾖ τις κατή-
γορος, δοὺς κατηγορίαν καὶ ἀπολογίαν οὕτω δίδωσιν ἐν μὲν τῇ βουλῇ τὴν
ἐπιχειροτονίαν, ἐν δὲ τῷ δικαστηρίῳ τὴν ψῆφον· ἐὰν δὲ μηδεὶς βούληται
κατηγορεῖν, εὐθὺς δίδωσι τὴν ψῆφον. καὶ πρότερον μὲν εἷς ἐνέβαλλε τὴν
ψῆφον, νῦν δ' ἀνάγκη πάντας ἐστὶ διαψηφίζεσθαι περὶ αὐτῶν, ἵνα, ἄν τις
πονηρὸς ὢν ἀπαλλάξῃ τοὺς κατηγόρους, ἐπὶ τοῖς δικασταῖς γένηται τοῦτον
ἀπ[ο]δοκιμάσαι. δοκιμασθέν⟨τες⟩ δὲ τοῦτον τὸν τρόπον βαδίζουσι πρὸς 5
τὸν λίθον ἐφ' ο[ὗ] τὰ τόμι' ἐστίν, ἐφ' οὗ καὶ οἱ διαιτηταὶ ὀμόσαντες ἀπο-

1 εἴρηται] προείρηται Bl, Wn (K-W[3]), quod non capit spatium; neque enim litterae ιρητα extant, sed clare ται, minus clare η post ειρηται spatium 4 litt. idoneum, sed νυν sufficeret, sicut λεμ in proximo versu 3 κοκιμ- L*, corr. L[4] τῃ L 5 πάντες] ἅπαντες Diels, Bl, Wn; ligatura ante π potest vel σ vel α esse (sed melius σ), spatium autem magis 2 quam 3 litteris idoneum est de κ(αι) ante οἱ nihil nisi vestigium compendii minutum relictum est 6 δοκιμασθεντας L*, corr. L[4] ἐννέα] non ἐννέ', ut Bl, K-W, cum α utrumque conspici possit 10 πατηρ πατρος L*, ordinem mutavit signis superpositis L[4] 14 εἰ add. K-W e lex. rhet. Cantabr. et Dinarch. 2,18 15. 16 ἐπειδὰν ... μάρτυρας om. L*, suprascr. L[4] 16 βουλευται L η L 19 ενεβαλε L*, corr. L[4] 21 απαλλαξῃ L γενηνηται L*, corr. L[4] 22 δοκιμασθεν L, quod nescio an retinendum sit; δοκιμασθέντες Rutherford, edd. cett. 23 εφ potius quam υφ L (utrumque libri Poll.) postea ο potius quam ω (de umbris litterarum errat Kaibel p. 230, quippe qui ectypum solum vidisset): ἐφ' ᾧ K-W[3], Bl, ἐφ' οὗ H-L, S.

ἀνάκρισις: κατὰ Ἀριστοτέλην οἱ θεσμοθέται ἐκ τῶν θ̄ ἀρχόντων αὐτοὶ ἓξ ὄντες· οἱ δὲ λαχόντες ὑπὸ (ὑπὲρ cod.) τῆς βουλῆς τῶν πεντακοσίων καὶ τοῦ δικαστηρίου δοκιμάζονται πλὴν τοῦ γραμματέως ἐρωτώμενοι τίνες αὐτῶν πατέρες· ὁμοίως καὶ δήμων τίνων εἰσί· καὶ εἰ ἔστιν αὐτοῖς Ἀπόλλων πατρῷος καὶ Ζεὺς (ζ^ο cod.) ἕρκειος· καὶ εἰ τοὺς γονέας εὖ ποιοῦσι· καὶ εἰ τὰ τέλη τελοῦσι. καὶ εἰ τὰς ὑπὲρ τῆς πατρίδος στρατείας ἐστρατεύσαντο· πάντα οὖν ἀνάκρισιν εὐλόγως ὠνόμασαν.

23 Harpocr. s. v. λίθος: ..... ἐοίκασι δ' Ἀθηναῖοι πρός τινι λίθῳ τοὺς ὅρκους ποιεῖσθαι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Φιλόχορος ἐν τῷ γ̄ ὑποσημαίνουσιν (Epitomen exscr. Phot. Suid.[11]).

φαίνονται τὰς διαίτας καὶ οἱ μάρτυρες ἐξόμνυνται τὰς μαρτυρίας· ἀναβάντες p.28
δ' ἐπὶ τοῦτον ὀμνύουσιν δικαίως ἄρξειν καὶ κατὰ τοὺς νόμους, καὶ δῶρα
μὴ λήψεσθαι τῆς ἀρχῆς ἕνεκα, κἄν τι λάβωσι ἀνδριάντα ἀναθήσειν χρυ-
σοῦν. ἐντεῦθεν δ' ὀμόσαντες εἰς ἀκρόπολιν βαδίζουσιν καὶ πάλιν ἐκεῖ ταὐτὰ
ὀμνύουσι, καὶ μετὰ ταῦτ' εἰς τὴν ἀρχὴν εἰσέρχονται.

LVI. λαμβάνουσι δὲ καὶ παρέδρους ὅ τ' ἄρχων καὶ ὁ βασιλεὺς καὶ ὁ 1
πολέμαρχος δύο ἕκαστος οὓς ἂν βούληται, καὶ οὗτοι δοκιμάζονται ἐν τῷ
δικαστηρίῳ πρὶν παρεδρεύειν, καὶ εὐθύνας διδόασιν ἐπὰν παρεδρεύσωσιν.

καὶ ὁ μὲν ἄρχων εὐθὺς εἰσελθὼν πρῶτον μὲν κηρύττει, ὅσα τις 2
εἶχεν πρὶν αὐτὸν εἰσελθεῖν εἰς τὴν ἀρχήν, ταῦτ' ἔχειν καὶ κρατεῖν μέχρι
ἀρχῆς τέλους. ἔπειτα χορηγοὺς τραγῳδοῖς καθίστησι τρεῖς ἐξ ἁπάντων 3
Ἀθηναίων τοὺς πλουσιωτάτους· πρότερον δὲ καὶ κωμῳδοῖς καθίστη πέντε,
νῦν δὲ τούτοις αἱ φυλαὶ φέρουσιν. ἔπειτα παραλαβὼν τοὺς χορηγοὺς τοὺς
ἐνηνεγμένους ὑπὸ τῶν φυλῶν εἰς Διονύσια ἀνδράσιν καὶ παισὶν καὶ κωμῳδοῖς,
καὶ εἰς Θαργήλια ἀνδράσιν καὶ παισίν (εἰσὶ δ' οἱ μὲν εἰς Διονύσια κατὰ
φυλάς, εἰς Θαργήλια ⟨δὲ⟩ δυοῖν φυλαῖν εἷς· παρέχει δ' ἐν μ[έρ]ει ἑκατέρα
τῶν φυλῶν) τούτοις τὰς ἀντιδόσεις ποιεῖ καὶ τὰς σκήψεις εἰσ[άγει, ἐά]ν τις
ἢ λελῃτουργη[κέ]ν[αι] φῇ πρότερον ταύτην τὴν λῃτουρ[γίαν, ἢ ἀ]τελὴς
εἶναι, λελῃτ[ου]ργ[ηκὼς ἑ]τέραν λῃτουργίαν καὶ τῶν χρόνων αὐτῷ [τῆς
ἀτελ]είας μὴ ἐξεληλυθό[των, ἢ τὰ] ἔτη μὴ γεγονέναι· δεῖ γὰρ τὸν τοῖς
παι[σὶν χορ]ηγοῦντα ὑπὲρ τετταρά[κον]τα ἔτη γεγονέναι. καθίστησι δὲ καὶ
εἰς Δῆλον χορηγοὺς καὶ ἀρχ[ι]θέω[ρον] [τῷ] τριακοντορίῳ τῷ τοὺς ἠθέους
ἄγοντι. πομπῶν δ' ἐπιμελεῖτ[αι τῆς τ]ε τῷ Ἀσκληπιῷ γιγνομένης, ὅταν 4
οἰκουρῶσι μύσται, καὶ τῆς Διονυσίων τῶν μ[εγά]λων μετὰ τῶν ἐπιμελητῶν,
οὓς πρότερον μὲν ὁ δῆμος ἐχειροτόνει δέκα ὄντας, κ[αὶ τὰ] εἰς τὴν πομπὴν

---

7 ἑκάτερος Harp. (v. testim.) 8 εαν L 13 τούτους Wyse (K-W, Bl, S), coll. Dem. 39 § 7 16 δε in L non exstare certum est δυειν L, corr. H-L (Meisterhans^3 p. 201) 17 τ(ης) σκηψεις L*, τασκηψεις L^4 18 λελῃτουργηκέναι φῇ προτερον restit. S φη L λειτουργιαν L*, η super ει scr. L^4
19 λελῃτ[ου]ργ[ηκως] L*, ει super η scr. L^4 λουτηργιαν L*, corr. L^4
22 ἀρχιθεώρους Torr, H-L, ἀρχιθέωρον Lipsius, al.; spatium singulari numero aptius
23 γινομενης L

---

6 Harpocr. s. v. πάρεδρος: ..... Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ "λαμβάνουσι δὲ καὶ παρέδρους ὅ τε ἄρχων καὶ ὁ πολέμαρχος, δύο ἑκάτερος οὓς ἂν βούληται, καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν, καὶ εὐθύνας διδόασιν ἐπὰν παρεδρεύσωσιν". (Epitomen exscr. Phot. Suid.) — Poll. VIII 92 πάρεδροι δ' ὀνομάζονται οὓς αἱροῦνται ἄρχων καὶ βασιλεὺς καὶ πολέμαρχος, δύο ἕκαστος οὓς βούλεται. δοκιμασθῆναι δ' αὐτοὺς ἐχρῆν ἐν τοῖς πεντακοσίοις, εἶτ' ἐν δικαστηρίῳ.

11 Lex. Cantabr. 670,4 ἐπώνυμος ἄρχων: ἀφ' οὗ ἡ πόλις χρηματίζει· ἔχει δὲ ἐπιμέλειαν χορηγοὺς καταστῆσαι εἰς Διονύσια καὶ Θαργήλια· ἐπιμελεῖται δὲ καὶ τῶν εἰς Δῆλον καὶ τῶν ἀλλαχόσε πεμπομένων Ἀθήνηθεν χορῶν· λαγχάνονται δὲ παρ' αὐτῷ καὶ γραφαί· καὶ δίκας εἰς τὸ δικαστήριον εἰσάγει.

21 Harpocr.: ὅτι νόμος ἐστὶν ὑπὲρ μ̄ ἔτη γενόμενον χορηγεῖν παισίν, Αἰσχίνης τε ἐν τῷ κατὰ Τιμάρχου καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. (Epitomen exscr. Phot. et Suid.)

ἀναλώματα παρ' αὐτῶ[ν] ἀνήλι[σ]κον, νῦν δ' ἕνα τῆς φυλῆ[ς ἑκ]άστης p.28
κληροῖ καὶ δίδωσιν εἰς τὴν κατασκευὴν ἑκατὸν μνᾶς. ἐπιμελ[εῖτα]ι δὲ 5
καὶ τῆς εἰς Θαργήλια καὶ τῆς τῷ Διὶ τῷ Σωτῆρι. διοικεῖ δὲ καὶ τὸν
ἀγῶνα τῶ[ν Διο]νυσίων οὗτος καὶ τῶν Θαργηλίων. ἑορτῶν μὲν οὖν ἐπι-
μελεῖται τούτων. γραφαὶ δ[ὲ καὶ] δίκαι λαγχάνονται πρὸς αὐτόν, ἃς 6
ἀνακρίνας εἰς τὸ δικαστήριον εἰσάγει, [γο]νέων κακώσεως (αὗται δ' εἰσὶν
ἀζήμιοι τῷ βουλομένῳ δ[ι]ώκειν), ὀρφανῶν κακώσεως (αὗται δ' εἰσὶ κατὰ
τῶν ἐπιτρόπων), ἐπικλήρου κακώσε[ως . . . . (αὗτ]αι δ' εἰσὶ κατὰ [τῶν]
ἐπιτρόπων καὶ τῶν συνοικούντων), οἴκου ὀρφανικοῦ κακώσεως (εἰσὶ δὲ καὶ
[αὗται κατὰ τῶν] ἐπιτρό[π]ων), παρανοίας, ἐάν τις αἰτιᾶταί τινα παρα-
νοοῦντα τὰ [. . . . . ἀ]πολλύν[αι], εἰς δατητῶν αἵρεσιν, ἐάν τις μὴ

3 novum fragmentum litteras paucas trium versuum hic continet 6 τὸ non certum. δι super rasuram earundem litt. scriptum est 8 κακωσε[ως αυτ]αι] nisi litura fuit, maius supplementum desideratur 9 ορφανου L[*], ικ suprascr. L[4] 11 ὑπάρχοντα suppl. Bl., spatio idoneum, sed cum vestigiis primae litterae parum congruit. nescio an superscriptum fuerit aliquid διαιτητ(ων) L, corr. e lex. rhet. Cant.

5 Poll. VIII 89 ὁ δὲ ἄρχων διατίθησι μὲν Διονύσια καὶ Θαργήλια μετὰ τῶν ἐπιμελητῶν. δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται κακώσεως, παρανοίας, εἰς δατητῶν (διαιτητῶν vulgo) αἵρεσιν, ἐπιτροπῆς ὀρφανῶν, ἐπιτρόπων καταστάσεις, κλήρων καὶ ἐπικλήρων ἐπιδικασίαι. ἐπιμελεῖται δὲ καὶ τῶν γυναικῶν αἳ ἂν φῶσιν ἐπ' ἀνδρὸς τελευτῇ κύειν, καὶ τοὺς οἴκους ἐκμισθοῖ τῶν ὀρφανῶν. Harpocr. s. v. ἡγεμονία δικαστηρίου: . . . . . ἄλλαι πρὸς ἄλλους τῶν ἀρχόντων ἐλαγχάνοντο δίκαι, τὰς δὲ ἀπενεχθείσας αἱ ἀρχαὶ κατὰ τὸν αὐτῆς (αὐτῆς D; αὖ E; αὐτῶν vel αὐτὸν reliqui codd.) ἑκάστη νόμον εἰσῆγον εἰς δικαστήριον ἡγουμένη καὶ προεστῶσα, οἷον πρὸς μὲν τὸν ἄρχοντα αἱ τῶν ὀρφανῶν καὶ ἐπικλήρων, πρὸς δὲ τὸν βασιλέα αἱ τῆς ἀσεβείας, πρὸς δὲ τὸν πολέμαρχον τοῦ ἀποστασίου τε καὶ ἀπροστασίου, πρὸς δὲ τοὺς θεσμοθέτας αἱ τῆς ξενίας τε καὶ δωροξενίας καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ βουλεύσεως καὶ ἄλλων (Epitomen descr. Phot.[1] [unde Et. gen., ex quo Et. M. 418,29] et Suid.[11]). Lex. Bekk. quintum (BA 309,33) τίνες ποίων δικαστηρίων εἶχον τὴν ἡγεμονίαν: πρὸς τὸν ἄρχοντα κακώσεως ἐλαγχάνον⟨το⟩ γραφαὶ καὶ αἱ τῶν γονέων, εἰ τούτους τις αἰτίαν ἔχοι κακοῦν, καὶ ⟨αἱ⟩ τῶν ὀρφανῶν, ἔτι δὲ παρανοίας καὶ ἀργίας, ⟨καὶ κλήρων⟩ ἐπιδικασίαι (ἐπιδικασίαν cod. corr. Bekker) καὶ ἐπικλήρων γυναικῶν· ἁπάσας ταύτας ἦγεν ὁ ἄρχων εἰς τὸ δικαστήριον ἡγεμονίαν αὐτῶν ἔχων. Phot.[11] = Suid.[1] ἡγεμονία δικαστηρίου: τοῖς ἄρχουσιν οὐ πάσας πᾶσιν ἐφεῖτο δίκας εἰσάγειν, ἀλλὰ τῷ μὲν ἄρχοντι τὰς τῶν ὀρφανῶν καὶ τὰς τῆς παρανοίας καὶ τὰς τῶν ἐπικλήρων (ἀποκλήρων et Phot. et Suid.) ἐπιδικασίας. — Lex. Cantabr. s. v. ἐπώνυμος 670,8 . . . . λαγχάνονται δὲ παρ' αὐτῷ καὶ γραφαί, καὶ δίκας εἰς τὸ δικαστήριον εἰσάγει. — Lex. Bekk. quint. (BA 269,1): κακώσεως καὶ κατὰ τίνος ἐδίδοτο· δίκης ὄνομά ἐστι κατὰ τῶν ἀνδρῶν ταῖς ἐπικλήροις γυναιξὶ διδομένη, καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν ἐπεξιοῦσι καὶ κατὰ τῶν γονέων (sic!). καὶ ἡ τοιαύτη δίκη οὕτως ἀπεφέρετο γονέων κακώσεως, ὀρφανῶν κακώσεως ἢ οἴκου ὀρφανικοῦ κακώσεως — Phot.[11] κακώσεως: δίκης ὄνομά ἐστιν κατὰ τριῶν ταττόμενον· ἡ γὰρ κατὰ τῶν ἀνδρῶν ταῖς γυναιξὶν ἢ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν ⟨ἐπ⟩εξιοῦσιν, ὧν ἡ μὲν ἐλέγετο κακώσεως, ἡ δὲ παίδων κακώσεως.

11 Lex. Cantabr. 667,28: εἰς δατητῶν (δατητὸν cod., corr. Meier) ⟨αἵρεσιν add. Meier⟩· πρόκλησις νεμήσεως (νεμέσεως cod., corr. Nauck) ἢ κληρονομίας ἢ κοινοῦ τινος ἀγορασμοῦ. ἐπὶ τῶν διανεμόντων τὰ κοινά τισιν, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ "δίκαι λαγχάνονται πρὸς τὸν ἄρχοντα ἄλλαι τε (ἀλλ' εἴ τις cod., corr. Dobree) καὶ εἰς δατητῶν αἵρεσιν, ὅταν ⟨τις⟩ μὴ θέλῃ κοινὰ τὰ ὄντα νέμεσθαι. — Etym. genuin. (exscr. Et. M. 249,42): δατηταί· δατητὴς

θέλῃ κοινὰ [τὰ ὄντα νέμεσθαι], εἰς ἐπι[τρ]οπῆς κατάστασιν, εἰς ἐπιτροπῆς p.28
διαδικασίαν, εἰς [ἐμφανῶν κατάστασ]ιν, ἐπίτρ[οπ]ον αὑτὸν ἐγγράψαι, κλήρων
καὶ ἐπικλήρων ἐπι[δικασίαι. ἐπιμελεῖτ]αι δὲ καὶ τῶν [ὀρφ]ανῶν καὶ τῶν 7
ἐπικλήρων καὶ τῶν γυναικῶν ὅσαι ἂν τελευτ[ήσαντος τοῦ ἀνδ]ρὸς σκή[πτω]νται
κύειν· καὶ κύριός ἐστι τοῖς ἀδικοῦσιν ἐπιβάλ[λειν ἢ εἰσάγειν εἰς] τὸ δικα-
[στή]ριον. μισθοῖ δὲ καὶ τοὺς οἴκους τῶν ὀρφανῶν καὶ τῶν ἐπικλ[ήρων,
ἕως ἄν τις τετταρ]ακαιδε[κέ]τις γένηται, καὶ τὰ ἀποτιμήματα λαμβάν[ει·
καὶ τοὺς ἐπιτρόπους], ἐὰν μὴ [δι]δῶσι τοῖς παισὶ τὸν σῖτον, οὗτος εἰσπράττει.

LVII. καὶ ὁ [μὲν ἄρχων ἐπιμελεῖτ]αι τούτ[ων· ὁ] δὲ βασιλεὺς 1
πρῶτον μὲν μυστηρίων ἐπιμελεῖτ[αι μετὰ τῶν ἐπιμελητῶν ὧ]ν ὁ δῆμ[ος

---

1 θελῃι L, ut opinor, non θελῃτ, ut Wn τὰ ὄντα νέμεσθαι suppl. e lex. Cant. (v. testim.) 2 ἐμφανῶν κατάστασιν suppl. K-W e Poll. ενγραψαι L 4 οσσκῃ clare L, non ροσκῃ, ut dicunt K-W (?Wn) 5 ἢ εἰσάγειν suppl. Lipsius 7 ἕως .. τετταρακαιδεκέτις restit. Bl.; -τεις L*, -της L¹ 8 καὶ τοὺς ἐπιτρόπους suppl. Brooks, K-W 9 μὲν ἄρχων suppl. K-W, H-L 10 ὧν Bl.; ν non certum est; οὓς Harp.

παρὰ Ἀττικοῖς ὁ διανεμητής. Ἀριστοτέλης τίνες οἱ δατηταί ... Harpocr. s. v. δατεῖσθαι: ... τὸ δὲ εἰς δατητῶν αἵρεσιν εἶδός τι δίκης ἐστίν· ὁπότε γὰρ κοινωνοῖέν τινες ἀλλήλοις καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινά, οἱ δὲ μή, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς μὴ βουλομένοις προσκαλούμενοι εἰς δατητῶν αἵρεσιν. Λυσίας ἐν τῷ πρὸς Ἀλεξίδημον, εἰ γνήσιος, καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. (Epitomen exscr. Suidas).

2 Harpocr. εἰς ἐμφανῶν κατάστασιν: ὄνομα δίκης ἐστὶν ὑπὲρ τοῦ τὰ ἀμφισβητήσιμα ποιῆσαι (sic Epitome: εἶναι codd.) ἐν φανερῷ. Ἰσαῖος ἐν τῷ περὶ τοῦ Φιλοκτήμονος κλήρου. ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ πρὸς τὸν ἄρχοντά φησι λαγχάνεσθαι ταύτην τὴν δίκην, τὸν δὲ ἀνακρίνοντα εἰσάγειν εἰς τὸ δικαστήριον. (Epitomen exscr. Suid.). Cf. Lex. Bekk. quintum (BA 254,24; exscr. Etym. M. 357,50) ἐπιβολὴ καὶ ἐπιβάλλειν: ζημίας ὄνομα, τὸ τὸν ἄρχοντα ἢ τὴν βουλὴν χρήματα ὁρίζειν τινὶ ζημίαν δοκοῦντι ἀδικεῖν τὰ δημόσια ἢ ὀρφανοὺς ἢ κατέχειν τὰ ἀλλότρια καὶ μὴ εἰς ἐμφανὲς ἄγειν ..... Eadem glossa plenior et purior servata est a Suida s. v. ἐπιβολή[1]: ... ὡς ὁριζομένη ζημία τοῖς ἁλοῦσιν ἐξημαρτηκέναι περὶ ὀρφανοὺς ἐπιτρόποις ἢ καὶ ἄλλοις τισὶ τῶν τὰ δημόσια μὴ καλῶς διοικησάντων ἢ τοῖς κατέχουσι τὰ ἀλλότρια καὶ μὴ εἰς ἐμφανὲς καθιστᾶσιν. ἣν οἱ ἄρχοντες ζημίαν ὁρίζουσιν, ἐπιβολὴ καλεῖται ... (Suidam descripsit schol. Aldin. Ar. Vesp. 769).

8 Harpocr. s. v. σῖτος ..... σῖτος καλεῖται ἡ διδομένη πρόσοδος εἰς τροφὴν ταῖς γυναιξὶν ἢ τοῖς ὀρφανοῖς, ὡς ἐξ ἄλλων μαθεῖν ἔστι καὶ ἐκ τοῦ Σόλωνος α ἄξονος καὶ ἐκ τῆς Ἀριστοτέλους Ἀθηναίων πολιτείας ..... (Epitomen exscr. Phot.[I] Suid.[II]).

9 Poll. VIII 90 ὁ δὲ βασιλεὺς μυστηρίων προέστηκε μετὰ τῶν ἐπιμελητῶν καὶ Ληναίων καὶ ἀγώνων τῶν ἐπὶ λαμπάδι καὶ τὰ περὶ τὰς πατρίους θυσίας διοικεῖ· δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται ἀσεβείας, ἱερωσύνης ἀμφισβητήσεως, καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι πᾶσιν αὐτὸς (leg. οὗτος) δικάζει, καὶ τὰς τοῦ φόνου δίκας εἰς Ἄρειον πάγον εἰσάγει, καὶ τὸν στέφανον ἀποθέμενος σὺν αὐτοῖς δικάζει. προαγορεύει δὲ τοῖς ἐν αἰτίᾳ ἀπέχεσθαι μυστηρίων καὶ τῶν ἄλλων νομίμων. δικάζει δὲ καὶ τὰς τῶν ἀψύχων δίκας (exscr. schol. Plat. Euthyphr. 2 A) — Schol. Plat. Phaedr. 235 D: ὁ δὲ βασιλεὺς μυστηρίων προνοεῖται καὶ τὰς θυσίας τὰς πατρίους διοικεῖ. Lex. Bekk. quint. (BA 219,14) βασιλεύς: βασιλεύς ἐστιν εἷς τῶν θ ἀρχόντων. ὁ δὲ βασιλεὺς μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν, οὓς ὁ δῆμος ἐχειροτόνησεν. γραφαὶ δὲ λαγχάνονται πρὸς αὐτὸν ἀσεβείας καὶ ἄν τις ἱερωσύνης ἀμφισβητήσῃ, προστιμᾷ. διαδικάζει δὲ καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι τὰς ἀμφισβητήσεις τὰς ὑπὲρ τῶν γερῶν. λαγχάνονται δὲ καὶ αἱ τοῦ φόνου δίκαι πᾶσαι πρὸς τοῦτον. — Harpocr. s. v. ἐπιμελητὴς τῶν μυστη-

χ]ειροτονεῖ, δύο μὲν ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' [ἐξ Εὐμολπιδῶν, ἕνα]
δ' ἐκ Κηρ[ύκω]ν. ἔπειτα Διονυσίων τῶν ἐπὶ Ληναίῳ· ταῦτα δέ ἐστι [πομπή
τε καὶ ἀγών. τ]ὴν μὲν οὖν πο[μπ]ὴν κοινῇ πέμπουσιν ὅ τε βασιλεὺς p. 29
καὶ οἱ ἐπιμεληταί, τὸν δὲ ἀγῶνα διατίθησιν ὁ βασιλεύς. τίθησι δὲ καὶ
τοὺς τῶν λαμπάδων ἀγῶνας ἅπαντας· ὡς δ' ἔπος εἰπεῖν καὶ τὰς πατρίους
θυσίας διοικεῖ οὗτος πάσας. γραφαὶ δὲ λαγχάνονται πρὸς αὐτὸν ἀσεβείας, 2
κἄν τις ἱερωσύνης ἀμφισβητῇ πρός τινα. διαδικάζει δὲ καὶ τοῖς γένεσι
καὶ τοῖς ἱερεῦσι τὰς ἀμφισβητήσεις τὰς ὑπὲρ τῶν ἱερῶν ἁπάσας οὗτος.
λαγχάνονται δὲ καὶ αἱ τοῦ φόνου δίκαι πᾶσαι πρὸς τοῦτον, καὶ ὁ προαγο-
ρεύων εἴργεσθαι τῶν νομίμων οὗτός ἐστιν. εἰσὶ δὲ φόν[ου] δίκαι καὶ 3
τραύματος, ἂν μὲν ἐκ προνοίας ἀποκτείνῃ ἢ τρώσῃ, ἐν Ἀρείῳ πάγῳ, καὶ
φαρμάκων, ἐὰν ἀποκτείνῃ δούς, καὶ πυρκαιᾶς· ταῦτα γὰρ ἡ βουλὴ μόνα
δικάζει· τῶν δ' ἀκουσίων καὶ βουλεύσεως κἂν οἰκέτην ἀποκτείνῃ τις ἢ

---

2 δ(ε) κηρ L, δ' ἐκ Κηρ. Harp. (K-W, H-L, cett.); superscriptum κ, quod vidit Wn, dubium est λην̣αιων L, quod retinent K-W[3] (Ἐπιληναίων), corr. Bywater, al. 2. 3 πομπή τε καὶ ἀγών Kaibel (π. καὶ ἀγ. H-L); η, quod vidit Wn, potest etiam aliud aliquid esse 4 τίθησι] διατίθησι Richards, K-W, H-L; sed cf. p. 60,3 καταγιγνώσκουσι . . . γνῶσθεν (S, Bl.) 8 ἱερῶν L (coniecerat Richards) Phot.; γερῶν Lex. Bekk. quint. (p. 219,14), K-W (v. testim.) 11 ἢ τρώσῃ recte K-W (η non supra vers., ut Bl) 12 φαρμάκων Poll., Dem. 23, 24 (K-W, S, Bl.); φαρμακον L αποκτεινη L

ρίων: . . . . . Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ φησὶν οὕτως· "ὁ δὲ βασιλεὺς πρῶτον μὲν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν, οὓς ὁ δῆμος ἐχειροτόνει, δύο μὲν ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' ἐξ Εὐμολπιδῶν, ἕνα δ' ἐκ Κηρύκων." (Epitomen exscr. [ex Photio] Etym. gen. [ex quo Et. M. 362,9] et Suid.)

6 Harpocr. s.] v. ἡγεμονία δικαστηρίου: . . . . . ἄλλαι πρὸς ἄλλους τῶν ἀρχόντων ἐλαγχάνοντο δίκαι, τὰς δὲ ἀπενεχθείσας αἱ ἀρχαὶ κατὰ τὸν αὐτῆς ἑκάστη νόμον εἰσῆγον εἰς δικαστήριον ἡγουμένη καὶ προεστῶσα, οἷον πρὸς μὲν τὸν ἄρχοντα αἱ τῶν ὀρφανῶν καὶ ἐπικλήρων, πρὸς δὲ τὸν βασιλέα αἱ τῆς ἀσεβείας . . . (Epitomen exscr. Phot.[1] [unde Etym. gen., ex quo Et. M. 418,29] et Suid.[II]). Lex. Bekk. quintum s. v. τίνες ποίων δικαστηρίων εἶχον τὴν ἡγεμονίαν (BA 310,7): . . . ὁ βασιλεὺς εἰσάγει τὰς φονικὰς ἁπάσας, ἐπεὶ καὶ προαγορεύει τὸν ἀνδροφόνον εἴργεσθαι τῶν νόμων, καὶ περὶ τῶν ἱερῶν καὶ τοῖς γένεσι δικάζει. Phot.[II] = Suid.[I] s. v. ἡγεμονία δικαστηρίου: τοῖς ἄρχουσιν οὐ πάσας πᾶσιν ἐφεῖτο δίκας εἰσάγειν ἀλλὰ τῷ μὲν ἄρχοντι . . . . ., τῷ μέντοι γε βασιλεῖ τάς τε φονικὰς καὶ τὰς τῆς ἀσεβείας καὶ ἄν τις ἱερωσύνης ἠμφισβήτει, πρότερον δὲ καὶ τὰς περὶ τῶν ἱερῶν τοῖς ἱερεῦσιν ἀμφισβητήσεις. προηγόρευε δὲ καὶ τῶν νόμων εἴργεσθαι τοὺς ἐν αἰτίᾳ (ἐναντία codd., corr. Dobree). Phot. Suid.

10 Poll. VIII 117 δικαστήρια Ἀθήνησιν. Ἄρειος πάγος· ἐδίκαζε δὲ φόνου καὶ τραύματος ἐκ προνοίας καὶ πυρκαϊᾶς καὶ φαρμάκων, ἐάν τις ἀποκτείνῃ δούς. Lex. Bekk. quint. (BA 311,9): περὶ Ἀρείου πάγου· αὕτη κρίνει τὰς φονικὰς δίκας καὶ φαρμάκων καὶ πυρκαϊᾶς.

13 Harpocr. βουλεύσεως: ἐγκλήματος ὄνομα ἐπὶ δυοῖν πραγμάτοιν ταττόμενον. τὸ μὲν γάρ ἐστιν, ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθεὶς ἐάν τε μή. τὸ δ' ἕτερον, ὅταν τις ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ αὐτὸς δικάζηταί τινι ὡς οὐ δικαίως αὐτὸν ἐγγεγραφότι. τοῦ μὲν οὖν προτέρου μάρτυς Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην ἐπὶ Παλλαδίῳ λέγων εἶναι τὰς δίκας, Δείναρχος δὲ ἐν τῷ κατὰ Πιστίου ἐν Ἀρείῳ πάγῳ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ τῷ Ἰσαίῳ συμφωνεῖ . . . . . (Epitomen exscr. Suid.).

μέτοικον ἢ ξένον, οἱ ἐπὶ Παλλαδίῳ· ἐὰν δ' ἀποκτεῖναι μέν τις ὁμολογῇ, φῇ p. 29 δὲ κατὰ τοὺς νόμους, οἷον μοιχὸν λαβὼν ἢ ἐν πολέμῳ ἀγνοήσας ἢ ἐν ἄθλῳ ἀγωνιζόμενος, τούτ[ῳ] ἐπὶ Δελφινίῳ δικάζουσιν· ἐὰν δὲ φεύγων φυγὴν ὧν αἴδεσίς ἐστιν αἰτίαν ἔχῃ ἀποκτεῖναι ἢ τρῶσαί τινα, τούτῳ δ' ἐν Φρεάτου δικάζουσιν· ὁ δ' ἀπολογεῖται προσορμισάμενος ἐν πλοίῳ· δικάζουσι 4 δ' οἱ λαχόντες ταῦ[τ' ἐφέται] πλὴν τῶν ἐν Ἀρείῳ πάγῳ γιγνομένων, εἰσάγει δ' ὁ βασιλεύς, καὶ δικάζο[υ]σιν ἐν ἱερ[ῷ] καὶ ὑπαίθριοι, καὶ ὁ βασιλεὺς ὅταν δικάζῃ περιαιρεῖται τὸν στέφανον. ὁ δὲ τὴν αἰτίαν ἔχων τὸν μὲν ἄλλον χρόνον εἴργεται τῶν ἱερῶν καὶ οὐδ' εἰς τὴν ἀγορὰν ν[όμος] ἐμβαλεῖν αὐτῷ· τότε δ' εἰς τὸ ἱερὸν εἰσελθὼν ἀπολογεῖται. ὅταν δὲ μὴ εἰδῇ τὸν

---

1 ομολογη φη L 4 αιδεσις L*, ρ super δ scr. L[4]; puncta iuxta ιδ (α.ιδ.εσις) posuisse correctorem, ut putant K-W, Bl (unde hic cum Weilio ἄρεσις legit), non verum est; id quod ante ι punctum esse videtur, re vera pars litterae α est 6 ταῦτ'] τα' L, sed υ non certum est ἐφέται supplevi ex Harp. etc. (v. testim.): Wn α . . . . ς sibi visus est legere (unde ἄνδρες K-W[3]); equidem α omnino discernere nequeo, et quae in fine versus σ esse videtur potest etiam linea ad spatium supplendum esse, sicut alibi fit (e. g. vers. 36 huius pag.) τ(ων) om. L*. suprascr. L[4] 7 ἐν ἱερῷ Bl (Wn, K-W[3]), quod cum vestigiis incertis satis congruit 8 δικαζη L 9 νόμος Bl, fortasse recte; δ[ίκαιον], quod post van Leeuwen accepi, spatio nimium est, nisi abbreviatum fuerit, et compendii nullum est vestigium 10 ὅταν δὲ . . . ζῴων (68,2)] locus, ut videtur, corruptus; desideratur enim nomen iudicii ἐπὶ Πρυτανείῳ, quo tales caussae audiebantur (cf. Poll. VIII 120, Harp. s. v. ἐπὶ Πρυτανείῳ, id. s. v. ἐφέται) ειδη L

---

1 Harpocr. s. v. ἐπὶ Παλλαδίῳ: . . . δικαστήριόν ἐστιν οὕτω καλούμενον, ὡς καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, ἐν ᾧ δικάζουσιν ἀκουσίου φόνου καὶ βουλεύσεως οἱ ἐφέται (Epitomen exscr. Suid. et [ex Photio] Etym. genuinum, ex quo Symeo et Et. M. 362,43). — Poll. VIII 118 τὸ δ' ἐπὶ Παλλαδίῳ· ἐν τούτῳ λαγχάνεται περὶ τῶν ἀκουσίων φόνων. — Lex. Bekk. quint. (BA 311,3) ἐπὶ Παλλαδίῳ: οἱ ἀκούσιοι φόνοι ἐν τούτῳ ἐκρίνοντο. . . . Glossa in lexico Bekk. quinto (BA 257,23) misere decurtata ἐφέται καὶ ἐπὶ Παλλαδίῳ: δικαστήριόν ἐστιν οὕτω καλούμενον καὶ οἱ ἐν αὐτῷ κρίνοντες κριταὶ ἐφέται καλοῦνται plenior exstat [ex Photio] in Etym. genuino [unde Symeo et Etym. M. 362,43] et in Lex. Patm. p. 137, unde haec apponenda: Et. gen. ἐπὶ Παλλαδίῳ· δικαστήριον Ἀθήνησιν ἐν ᾧ περὶ ἀκουσίου φόνου ἐδίκαζον . . . et Lexicon Patm. ἐφέται ἦσαν ἄνδρες ν̄ ἐξειλεγμένοι, ἐδίκαζον δὲ τοὺς ἀκουσίους φόνους ⟨καὶ⟩ ἐὰν ξένος ἢ δοῦλος ἦν ὁ ἀναιρεθείς. . . . . . Schol. Aisch. II 87 (Vat. Laur. gim.): ἐπὶ Παλλαδίῳ] ἐπὶ τούτῳ ἐκρίνοντο οἱ ἀκούσιοι φόνοι. οἱ δὲ ἐν τούτῳ τῷ δικαστηρίῳ δικάζοντες ἐκαλοῦντο ἐφέται, ἐδίκαζον δὲ ἀκουσίου φόνου καὶ βουλεύσεως καὶ οἰκέτην ἢ μέτοικον ἢ ξένον ἀποκτείναντι (ἀποκτεῖναι codd., corr. H. Sauppe).

3 Harpocr. ἐπὶ Δελφινίῳ: δικαστήριόν ἐστιν οὕτω καλούμενον Ἀθήνησιν. δικάζονται δὲ ἐνταῦθα οἱ ὁμολογοῦντες μὲν ἀπεκτονέναι, δικαίως δὲ πεποιηκέναι τοῦτο λέγοντες, ὡς Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους δηλοῖ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ (Epitomen exscr. Suid. et [ex Photio] Etym. genuinum, unde Symeo et Et. M. 358,56). — Lex. Bekk. quintum (BA 311,13) ἐπὶ Δελφινίῳ ὁμολογούμενος φόνος ἔννομος δικάζεται. Lex. Patm. s. v. ἐπὶ Δελφινίῳ p. 138 . . . ὅθεν καὶ οἱ ἐνταῦθα κρινόμενοι ἐπὶ φόνοις ὁμολογουμένοις μέν, δικαίως δὲ γεγονόσι δικάζονται.

6 Harpocr. s. v. ἐφέται: . . . οἱ δικάζοντες τὰς ἐφ' αἵματι κρίσεις ἐπὶ Παλλαδίῳ καὶ ἐπὶ Πρυτανείῳ καὶ ἐπὶ Δελφινίῳ καὶ ἐν Φρεατοῖ ἐφέται ἐκαλοῦντο (Epitomen exscr. Phot.[III] Suid.[III]).

10 Harpocr. ἐπὶ Πρυτανείῳ: δικαστήριόν ἐστι καὶ τοῦτο φονικόν, δικάζει δὲ ἄν τι τῶν

ποιήσαντα, τῷ δράσαντι λαγχάνει. δικάζει δ' ὁ βασιλεὺς καὶ οἱ φυλο- p. 2
βασιλεῖς καὶ τὰς τῶν ἀψύχων καὶ τῶν ἄλλων ζῴων.

LVIII. ὁ δὲ πολέμαρχος θύει μὲν θυσίας τήν τε τῇ Ἀρτέμιδι τῇ 1
ἀγροτέρᾳ καὶ τῷ Ἐνυαλίῳ, διατίθησι δ' ἀγῶνα τὸν ἐπιτάφιον [καὶ] τοῖς
τετελευτηκόσιν ἐν τῷ πολέμῳ καὶ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐναγίσματα
ποιεῖ. δίκαι δὲ λαγχάνονται πρὸς αὐτὸν ἴδιαι μόνον, αἵ τε τοῖς μετοί- 2
κοις καὶ τοῖς ἰσοτελέσι καὶ τοῖς προξένοις γιγνόμεναι. καὶ δεῖ τοῦτον
λαβόντα καὶ διανείμαντα δέκα μέρη τὸ λαχὸν ἑκάστῃ τῇ φυλῇ μέρος προσ-
θεῖναι, τοὺς δὲ τὴν φυλὴν δικάζοντας τοῖς διαιτηταῖς ἀποδοῦναι. αὐτὸς 3

---

2 ζωων L 3 την τε τηι L*, τετ casu oblitteratum instauravit L[4]; τῇ τε K-W, at cf. l. 6 4 ενυαλλιωι primum scr. L, dein delevit et ενυω supra scripsit, dein hoc quoque delevit et ενυαλιω scripsit καὶ ante τοῖς τετ. seclusi (H-L, Bl, S) secundum Pollucem; ret. K-W (Bl[3]) 5 Αριστογιτονι L 6 αδιαι L*, corr. L[4] μόνον K-W; μ(εν) L 7 ante τοῖς προξ. ins. αἱ K-W γινομ(εν)αι L*, αι rescr. L[4], tum del. et οις in marg. scripsit

---

ἀψύχων ἐμπεσὸν ἀποκτείνῃ τινά, τοῦτο δέ ἐστιν, ἐὰν λίθος ἢ ξύλον ἢ σίδηρος ἤ τι τοιοῦτον, καὶ τὸν μὲν βαλόντα ἀγνοῇ, αὐτὸ δὲ εἰδῇ καὶ ἔχῃ τὸ τὸν φόνον εἰργασμένον. Epitome ἐπὶ Πρυτανείῳ: φονικὸν δικαστήριον, ὅταν τὸ μὲν ἀποκτεῖναν βέλος ἢ λίθος ἤ τι τοιοῦτον φανερὸν ᾖ, ὁ δὲ δράσας μή. ἀρχαῖον γὰρ ἔθος ἦν τὸ καὶ τὰ ἄψυχα κρίνειν, εἰ χρὴ ἐξορίζεσθαι (exscr. Suid. et [ex Photio] Et. genuinum, unde Symeo et Et. M. 362,55). — Lex. Bekk. quint. (BA 311,15) ἐπὶ Πρυτανείῳ· ἐὰν λίθος ἢ σίδηρος ἢ ξύλον φανῇ (sic!), τὸν δὲ δράσαντα ἀγνοῇ (lex. Patm. 138,75). Cf. Poll. VIII 120 τὸ ἐπὶ Πρυτανείῳ δικάζει περὶ τῶν ἀποκτεινάντων, κἂν ὦσιν ἀφανεῖς, δικάζει δὲ καὶ περὶ τῶν ἀψύχων τῶν ἐμπεσόντων καὶ ἀποκτεινάντων. προειστήκεσαν δὲ τούτου τοῦ δικαστηρίου οἱ φυλοβασιλεῖς, οὓς ἔδει τὸ ἐμπεσὸν ἄψυχον ὑπερορίσαι. haec omnia vix ex Aristotele desumpta.

3 Poll. VIII 91 ὁ δὲ πολέμαρχος θύει μὲν Ἀρτέμιδι Ἀγροτέρᾳ καὶ τῷ Ἐνυαλίῳ, διατίθησι δὲ τὸν ἐπιτάφιον ἀγῶνα τῶν ἐν πολέμῳ ἀποθανόντων καὶ τοῖς περὶ Ἁρμόδιον ἐναγίζει. δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται μετοίκων ἰσοτελῶν προξένων· καὶ διανέμει τὸ λαχὸν ἑκάστῃ φυλῇ [τι] μέρος, τὸ μὲν διαιτηταῖς παραδιδούς, εἰσάγων δὲ δίκας ἀποστασίου ἀπροστασίου κλήρων μετοίκων. Lex. Bekk. quint. (BA 290,27) πολέμαρχος: ἄρχων ἐστὶν Ἀθήνησιν, τῶν ἐννέα ἀρχόντων. καὶ τῷ Ἐνυαλίῳ διατίθησι τὸν ἀγῶνα τὸν ἐπιτάφιον. Cf. eandem glossam pleniorem apud Phot.[11] πολέμαρχος: Ἀθήνησιν ἄρχων, εἷς τῶν θ. οὗτος τὸ μὲν παλαιὸν τῶν ἐν πολέμοις ἡγεῖτο, ἀφ' οὗ καὶ τὴν κλῆσιν ἔχει (cf. Aristot. III 2), ὕστερον δὲ τῆς ἡγεμονίας ἐκείνης ἀφαιρεθεὶς προειστήκει μὲν τῶν τε ξένων καὶ τῶν μετοίκων, οὐκ ἤμειψε δὲ τὴν κλῆσιν et in Lexico Patm. p. 147 πολέμαρχος: εἷς τῶν ἐννέα ἀρχόντων. ἐπεμελεῖτο δὲ τῶν κατὰ πόλεμον. ὕστερον δὲ ἀφῃρέθη καὶ προειστήκει τῶν ξένων καὶ τῶν μετοίκων.

9 Harpocr. s. v. πολέμαρχος: . . . Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διεξελθὼν ὅσα διοικεῖ ὁ πολέμαρχος πρὸς ταῦτά φησιν· "αὐτός τε εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις καὶ τἆλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος . . . (Epitomen descr. Phot.[4], Suid.[11]). — Harpocr. s. v. ἀποστασίου: . . . Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ περὶ τοῦ πολεμάρχου γράφει ταυτί· "οὗτος δὲ εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων". Harpocr. s. v. ἡγεμονία δικαστηρίου: . . . . . . ἄλλαι πρὸς ἄλλους τῶν ἀρχόντων ἐλαγχάνοντο δίκαι . . . . . πρὸς δὲ τὸν πολέμαρχον τοῦ ἀποστασίου τε καὶ ἀπροστασίου . . . cf. ad p. 66,6 Lex. Bekk. quintum s. v. τίνες ποίων δικαστηρίων εἶχον τὴν ἡγεμονίαν (BA 310,9): . . . ὁ πολέμαρχος ἀποστασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις καὶ τἆλλα ὅσα τοῖς ἀστοῖς ὁ ἄρχων. οὗτος τοῖς μετοίκοις παρέχεται. Phot.[11] = Suid.[1] ἡγεμονία δικαστηρίου: τοῖς ἄρχουσιν οὐ πάσας πᾶσιν ἐφεῖτο δίκας εἰσάγειν,

δ' εἰσάγει δίκας τάς τε τοῦ ἀπο[σ]τασίου καὶ ἀπροστασ[ί]ου καὶ κλήρων p. 29
καὶ ἐπικλήρων τοῖς μετοίκοις, καὶ τἆλλ' ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα
τοῖς μετοίκοις ὁ πολέμαρχος.

LIX. οἱ δὲ θεσμοθέται πρῶτον μὲν τοῦ προγράψαι τὰ δικαστήριά 1
εἰσι κύριοι τίσιν ἡμέραις δεῖ δικάζειν, ἔπειτα τοῦ δοῦναι ταῖς ἀρχαῖς·
καθότι γὰρ ἂν οὗτοι δῶσιν, κατὰ τοῦτο χρῶνται. ἔτι δὲ τὰς εἰσαγγελίας 2
εἰσαγγέλλουσιν εἰς τὸν δῆμον καὶ τὰς καταχειροτονίας καὶ τὰς προβολὰς
ἁπάσας εἰσάγουσιν οὗ[τ]οι καὶ γραφὰς παρανόμων καὶ νόμον μὴ ἐπιτήδειον
θεῖναι καὶ προεδρικὴν καὶ ἐπιστατικὴν καὶ στρατηγοῖς εὐθύνας. εἰσὶ δὲ 3
καὶ γραφαὶ πρὸς αὐτοὺς ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἂν

---

1 ἀποστασίου] π super lituram scr. L[4] και απροστασιου om. L[*], και προστασιου suprascr. L[4], καὶ ἀπροστασίου Harp. 7 εἰσαγγέλλουσιν εἰς τὸν δῆμον del. K-W, sed confirmant Poll. et Phot. (v. testim.) κ(ατα)χειροτονιαν L[*], corr. L[4]

ἀλλὰ ..... τῷ πολεμάρχῳ δὲ ὅσαι ἀποστασίου γραφὴν ἔφερον, ἔτι μὴν καὶ ὅσα ὁ ἄρχων [ἐν] τοῖς ἀστοῖς, ὁ πολέμαρχος τοῖς μετοίκοις διῄτει. Phot. Λυκαμβὶς ἀρχή: τοῦ πολεμάρχου. ψυχρῶς· ἐπεὶ ἐπολέμησεν Ἀρχίλοχος τῷ Λυκάμβει. ἐπὶ δὲ τούτου ἀποστασίου καὶ ἐπικλήρων (ἐπικλήρου cod.) αἱ δίκαι ὑπήγοντο. Hesych. Λυκαμβὶς ἀρχή: ὁ Κρατῖνος ἐν Νόμοις, τὸν πολέμαρχον δηλῶν, πρὸς ὅ(ν) ἀπεγράφοντο τὰς τοῦ ἀποστασίου δίκας. Λυκαμβίδα δὲ εἶπε τὴν ἀρχήν ... — Schol. Arist. Vesp. 1042 (V) ὡς τὸν πολέμαρχον] ὄνομα ἀρχῆς. οὐ τοῖς πολίταις τοῦτο προσῆψεν, ἀλλὰ τοῖς ξένοις. αἱ γὰρ ξενικαὶ δίκαι ἐπὶ τοῦ πολεμάρχου εἰσήγοντο. οἱ δὲ καὶ βοηθείας δεόμενοι ἐπὶ τὴν ἀρχὴν κατέφευγον τοῦ πολεμάρχου. ἀλλὰ καὶ (sic deteriores ἄλλως V) οἱ κατηγοροῦντες γονέων κακώσεως πρὸς τὸν πολέμαρχον ἐδικάζοντο κἀκεῖνος ἔκρινεν.

4 Harp. s. v. θεσμοθέται: ... ὁ δ' Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ διέρχεται ὅσα οὗτοι πράσσουσιν. Poll. VIII 87 ἰδίᾳ δὲ οἱ μὲν θεσμοθέται προγράφουσι πότε δεῖ δικάζειν τὰ δικαστήρια καὶ τὰς εἰσαγγελίας εἰσαγγέλλουσιν εἰς τὸν δῆμον καὶ τὰς χειροτονίας καὶ τὰς προβολὰς εἰσάγουσι καὶ τὰς τῶν παρανόμων γραφὰς καὶ εἴ τις μὴ ἐπιτήδειον νόμον γράψειεν καὶ στρατηγοῖς εὐθύνας. γίνονται δὲ πρὸς αὐτοὺς γραφαὶ ξενίας δωροξενίας δώρων συκοφαντίας ψευδοκλητείας ψευδεγγραφῆς βουλεύσεως ἀγραφίου μοιχείας. εἰσάγουσι δὲ καὶ δοκιμασίαν ταῖς ἀρχαῖς καὶ τοὺς ἀπεψηφισμένους καὶ τὰς ἐκ τῆς βουλῆς καταγνώσεις καὶ δίκας ἐμπορικὰς καὶ μεταλλικὰς καὶ ἐὰν δοῦλος κακῶς ἀγορεύῃ τὸν ἐλεύθερον, καὶ ταῖς ἀρχαῖς ἐπικληροῦσι τὰ δικαστήρια τά τε ἴδια καὶ τὰ δημόσια, καὶ τὰ σύμβολα τὰ πρὸς τὰς πόλεις κυροῦσι καὶ δίκας τὰς ἀπὸ συμβόλων εἰσάγουσι καὶ τὰς τῶν ψευδομαρτυριῶν τῶν ἐξ Ἀρείου πάγου (exscr. schol. Aeschin. 1,10). Glossa lexici Bekk. quinti (BA 264,15, descr. Et. M. 448,10, θεσμοθέται: ἀρχή ἐστιν Ἀθήνησιν ἀνδρῶν ἕξ. καλοῦνται δὲ οὕτως ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν ἐποιοῦντο, θεσμὸν δὲ ἐκάλουν τὸν νόμον) plenior exstat apud Phot.[I] θεσμοθέται: ἀρχὴ Ἀθήνησιν ἀνδρῶν ἕξ, οἳ τὴν τῶν νόμων ἐπιμέλειαν ἐποιοῦντο καὶ τὰς εἰσαγγελίας εἰσήγγελλον εἰς τὸν δῆμον καὶ τὰς χειροτονίας καὶ τὰς προβολὰς ἁπάσας καὶ γραφὰς παρανόμων καὶ ἦσαν διορθωταὶ τῶν νόμων. Schol. Plat. Phaedr. 235 D οἱ δὲ θεσμοθέται ἕξ εἰσι τὸν ἀριθμόν, ἀφ' ὧν καὶ ὁ τόπος ὅπου συνῄεσαν καὶ ἐσιτοῦντο, Θεμίστιον (sic!) ἐκαλεῖτο· εἶχον δὲ ἐξουσίαν τοῦ ὑπογράψαι τὰ δικαστήρια καὶ τὰς εἰσαγγελίας εἰσῆγον καὶ τὰς χειροτονίας καὶ προβολὰς καὶ γραφὰς παρανόμων καὶ ἄλλων τινῶν.

10 Harpocr. s. v. παράστασις: ..... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ περὶ τῶν (τῶν Epitome; om. codd.) θεσμοθετῶν λέγων (λέγων Epitome, om. codd.) φησὶν οὕτως· "εἰσὶ δὲ γραφαὶ πρὸς αὐτοὺς ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν, καὶ ψευδεγγραφῆς καὶ ψευδοκλητείας καὶ βουλεύσεως καὶ ἀγραφίου (sic Epitome, ἀργυρίου codd.) καὶ μοιχείας" ... (Epitomen descrips. Phot.[II] et Suid.[II]). — Lex. Cantabr. 674,7 ξενίας γραφὴ καὶ δωροξενίας διαφέρει· Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ

τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν, καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγ- p.29
γραφῆς καὶ ψευδοκλητείας καὶ βουλεύσεως καὶ ἀγραφίου καὶ μοιχείας.
εἰσάγουσιν δὲ καὶ τὰς δοκιμασίας ταῖς ἀρχαῖς ἁπάσαις καὶ τοὺς ἀπεψη- 4
φισμένους ὑπὸ τῶν δημοτῶν καὶ τὰς καταγνώσεις τὰς ἐκ τῆς βουλῆς.
εἰσάγουσι δὲ καὶ δίκας ἰδίας, ἐμπορικὰς καὶ μεταλλικὰς καὶ δούλων, ἄν τις 5
τὸν ἐλεύθερον κακῶς λέγῃ. καὶ ἐπικληροῦσι ταῖς ἀρχαῖς οὗτοι τὰ δικα-
στήρια τὰ ἴδια καὶ τὰ δημόσια. καὶ τὰ σύμβολα τὰ πρὸς τὰς πόλεις 6
οὗτοι κυροῦσι, καὶ τὰς δίκας τὰς ἀπὸ τῶν συμβόλων εἰσάγουσι, καὶ τὰ
ψευδομαρτύρια ⟨τὰ⟩ ἐξ Ἀρείου πάγου.
τοὺς δὲ δικαστὰς κληροῦσι πάντες οἱ ἐννέα ἄρχοντες, δέκατος δ' 7
ὁ γραμματεὺς ὁ τῶν θεσμοθετῶν, τοὺς τῆς αὑτοῦ φυλῆς ἕκαστος.
LX. τὰ μὲν οὖν περὶ τοὺς θ̄ ἄρχοντας τοῦτον ἔχει τὸν τρόπον. κλη- 1
ροῦσι δὲ καὶ ἀθλοθέτας δέκα ἄνδρας, ἕνα τῆς φυλῆς ἑκάστης. οὗτοι δὲ
δοκιμασθέντες ἄρχουσι τέτταρα ἔτη, καὶ διοικοῦσι τήν τε πομπὴν τῶν
Παναθηναίων καὶ τὸν ἀγῶνα τῆς μουσικῆς καὶ τὸν γυμνικὸν ἀγῶνα καὶ
τὴν ἱπποδρομίαν, καὶ τὸν πέπλον ποιοῦνται, καὶ τοὺς ἀμφορεῖς ποιοῦνται

---

1. 2 ψευδεγραφης L*, ut vid., γ suprascr. L[4] 6 λεγη L 9 τὰ add. Bernadakis, al. 10 παντας L

φησὶ περὶ τῶν θεσμοθετῶν διαλεγόμενος· "εἰσὶ δὲ καὶ γραφαὶ πρὸς (περὶ cod., corr. Meier) αὐτούς, ὧν παράστασις (περιστάσεις cod., corr. Nauck) τίθεται, ξενίας καὶ δωροξενίας· ξενίας μὲν ἐάν τις κατηγορῆται ξένος εἶναι· δωροξενίας δὲ ἐάν τις δῶρα διδοὺς ἀποφύγῃ τὴν ξενίαν. Harpocr. s. v. δωροξενία: . . . καὶ Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων γράφει ταυτί· "εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν συκοφαντίαν". (Epitomen exscr. Suid.) — Harpocr. s. v. ἡγεμονία δικαστηρίου: . . . . . ἄλλαι πρὸς ἄλλους τῶν ἀρχόντων ἐλαγχάνοντο δίκαι . . . . πρὸς δὲ τοὺς θεσμοθέτας αἱ τῆς ξενίας τε καὶ δωροξενίας καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ βουλεύσεως καὶ ἄλλων (Epitomen exscr. Suid.[II] et Phot.[I], ex quo Et. genuin., unde Et. M. 418, 29). Lex. Bekk. quintum (BA 310,12) οἱ θεσμοθέται εἰσῆγον ξενίας καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ βουλεύσεως. Phot.[II] = Suid.[I] s. v. ἡγεμονία δικαστηρίου: . . . οἱ θεσμοθέται συκοφαντίας καὶ δώρων καὶ ὕβρεως (ὕβρεων codd.) καὶ μοιχείας καὶ βουλεύσεως. Hesych. δωροξενία: τὸ ἐπὶ ξενίᾳ (ξενίαν cod.) ⟨ἐγ⟩καλούμενον ἀποφυγεῖν δῶρα δόντα. Poll. VIII 44 δωροξενίας δέ, εἴ τις ξενίας κρινόμενος δῶρα δοὺς ἀποφύγοι.

7 Lex. Bachm. p. 436,1 Bekk. ἀπὸ συμβόλων δικάζει: Ἀθηναῖοι ἀπὸ συμβόλων ἐδίκαζον τοῖς ὑπηκόοις. οὕτως Ἀριστοτέλης.

10 Schol. Ar. Vesp. 775 (V): θεσμοθέτης] . . . ἄλλως. ἐπειδὴ θεσμοθέται καὶ δέκατος ὁ γραμματεὺς κληροῦσι τοὺς δικαστὰς τοὺς τῆς αὐτῆς φυλῆς ἕκαστος. — Poll. VIII 87 καὶ κοινῇ μὲν ἔχουσιν (scil. οἱ ἐννέα ἄρχοντες) ἐξουσίαν θανάτου ἐάν τις κατίῃ ὅποι μὴ ἔξεστι καὶ κληροῦν δικαστὰς καὶ ἀθλοθέτας, ἕνα κατὰ φυλὴν ἑκάστην, καὶ στρατηγοὺς χειροτονεῖν ἐξ ἁπάντων καὶ καθ' ἑκάστην πρυτανείαν ἐπερωτᾶν εἰ δοκεῖ καλῶς ἄρχειν ἕκαστος — τὸν δ' ἀποχειροτονηθέντα κρίνουσιν —, καὶ ἱππάρχους δύο καὶ φυλάρχους δέκα καὶ ταξιάρχους δέκα.

13 Poll. VIII 93 ἀθλοθέται δέκα μὲν εἰσιν, εἷς κατὰ φυλήν, δοκιμασθέντες δὲ ἄρχουσιν ἔτη τέτταρα ἐπὶ τῷ διαθεῖναι τὰ Παναθήναια, τόν τε μουσικὸν καὶ τὸν γυμνικὸν καὶ τὴν ἱπποδρομίαν.

μετὰ τῆς βουλῆς, καὶ τὸ ἔλαιον τοῖς ἀθληταῖς ἀποδιδόασι. συλλέγεται 2
δὲ τὸ ἔλαιον ἀπὸ τῶν μοριῶν· εἰσπράττει δὲ τοὺς τὰ χωρία κεκτημένους p. 29
ἐν οἷς αἱ μορίαι εἰσὶν ὁ ἄρχων, τρί' ἡμικοτύλια ἀπὸ τοῦ στελέχους ἑκάστου.
πρότερον δ' ἐπώλει τὸν καρπὸν ἡ πόλις· καὶ εἴ τις ἐξορύξειεν ἐλαίαν μορίαν
ἢ κατάξειεν, ἔκρινεν ἡ ἐξ Ἀρείου πάγου βουλή, καὶ εἴ [τ]ου καταγνοίη,
θαν[ά]τῳ τοῦτον ἐζημίουν. ἐξ οὗ δὲ τὸ ἔλαιον ὁ τὸ χωρίον κε|κτημένος p. 30
ἀποτίνει, ὁ μὲν νόμος ἔστιν, ἡ δὲ κρίσις καταλέλυται. τὸ δὲ ἔλα[ιον] ἐκ
τοῦ κτήματος, οὐκ ἀπὸ τῶν στελεχῶν ἐστι τῇ πόλει. συλλέξας οὖν 3
ὁ ἄρχων τὸ ἐφ' ἑαυ[τοῦ] γιγνόμενον τοῖς ταμίαις παραδίδωσιν εἰς ἀκρό-
πολιν, καὶ οὐκ ἔστιν ἀναβῆναι πρότερον εἰς [Ἄρε]ιον πάγον, πρὶν ἂν ἅπαν
παραδῷ τοῖς ταμίαις. οἱ δὲ ταμίαι τὸν μὲν ἄλλον χρόνον τηροῦσιν ἐν
ἀκροπόλει, τοῖς δὲ Παναθηναίοις ἀπομετροῦσι τοῖς ἀθλοθέταις, οἱ δ' ἀθλο-
θέται τοῖς νικῶσι τῶν ἀγωνιστῶν. ἔστι γὰρ ἆθλα τοῖς μὲν τὴν μουσικὴν
νικῶσιν ἀργύρια καὶ χρυσία, τοῖς δὲ τὴν εὐανδρίαν ἀσπίδες, τοῖς δὲ τὸν
γυμνικὸν ἀγῶνα καὶ τὴν ἱπποδρομίαν ἔλαιον.

LXI. χειροτονοῦσι δὲ καὶ τὰς πρὸς τὸν πόλεμον ἀρχὰς ἁπάσας, στρα- 1
τηγοὺς δέκα, πρότερον μὲν ἀφ' ⟨ἑκάστης⟩ φυλῆς ἕνα, νῦν δ' ἐξ ἁπάντων·
καὶ τούτους διατάττουσι τῇ χειροτονίᾳ, ἕνα μὲν ἐπὶ τοὺς ὁπλίτας, ὃς ἡγεῖται
τῶν ὁπλιτῶν ἂν ἐξίωσι, ἕνα δ' ἐπὶ τὴν χώραν, ὃς φυλάττει, κἂν πόλεμος
ἐν τῇ χώρᾳ γίγνηται, πολεμεῖ οὗτος· δύο δ' ἐπὶ τὸν Πειραιέα, τὸν μὲν εἰς
τὴν Μουνιχίαν, τὸν δ' εἰς τὴν Ἀκτήν, οἳ τῆς φυλακῆς ἐπιμελοῦνται [καὶ]
τῶν ἐν Πειραιεῖ· ἕνα δ' ἐπὶ τὰς συμμορίας, ὃς τούς τε τριηράρχους κατα-
λέγει καὶ τὰς ἀντιδόσεις αὐτοῖς ποιεῖ καὶ τὰς διαδικασίας αὐτοῖς εἰσάγει·
τοὺς δ' ἄλλους πρὸς τὰ παρόντα πράγματα ἐκπέμπουσιν. ἐπιχειροτονία 2
δ' αὐτῶν ἐστι κατὰ τὴν πρυτανείαν ἑκάστην, εἰ δοκοῦσιν καλῶς ἄρχειν·
κἂν τινα ἀποχειροτονήσωσιν, κρίνουσιν ἐν τῷ δικαστηρίῳ, κἂν μὲν ἁλῷ,
τιμῶσιν ὅ τι χρὴ παθεῖν ἢ ἀποτεῖσαι, ἂν δ' ἀποφύγῃ, πάλι[ν] ἄρχει. κύριοι

2 δὲ τὸ] το δ(ε) L, corr. Richards, al.; τὸ δὲ ἔλ. συλλ. Hicks, K-W 5 κ(ατα)ξιεν L*, corr. L[4] 6 εζημιου L*, corr. L[4] 7. 8 απο του κτ. L*, εκ suprascr. L[4] 11 π(αρα)δω L 14 αργυρια κ(αι) χρυσα L, corr. H-L, S, ἀργυρᾶ καὶ χρυσᾶ Rutherford; ἀργύριον καὶ χρυσᾶ K-W, B[3] 16 καὶ fortasse delendum est; sin aliter, lacuna ante haec verba statuenda est (sed cf. Poll. VIII 87) 17 δέκα] δ(ε) κ(αι) L αφφυλης L 18 οπλειτας L 19 οπλειτ(ων) L, ut vid. 20 γινηται L πολεμεῖ] ἡγεῖται K-W 21 μουνυχιαν L φυλακῆς] φυλης L καὶ del. K-W 22 συμμορίας] fragmentum novum, sed minimum, huc attuli (p. 30 in L, vv. 12—16) τριηραρχος L*, corr. L[4] 24 πράγματα om. L*, suprascr. L[4] 26 αλλωι L* corr. L[4] 27 αποτισαι L αποφυγη L

1 Schol. Soph. OC 701: ὁ δὲ Ἀριστοτέλης καὶ τοῖς νικήσασι τὰ Παναθήναια ἐλαίου τοῦ ἐκ μορίων γινομένου δίδοσθαί φησιν.

16 Pollucis locus (VIII 87) supra appositus est ad p. 70,10.

16. 17 Harpocr. s. v. στρατηγοί: . . . οἱ καθ' ἕκαστον ἐνιαυτὸν χειροτονούμενοι στρατηγοὶ δέκα ἦσαν ὡς μαθεῖν ἔστιν ἔκ τε τοῦ Ὑπερείδου κατ' Αὐτοκλέους καὶ ἐκ τῆς Ἀθηναίων πολιτείας Ἀριστοτέλους. (Epitomen exscr. Phot. Suid.)

22 Phot.[II] = Suid.[I] ἡγεμονία δικαστηρίου: τοῖς ἄρχουσιν οὐ πάσας πᾶσιν ἐφεῖτο δίκας εἰσάγειν, ἀλλὰ . . . τῷ στρατηγῷ περὶ τριηραρχίας καὶ ἀντιδόσεως.

δέ εἰσιν ὅταν ἡγῶνται καὶ δῆσαι τὸν ἀτακτοῦντα καὶ ⟨ἐκ⟩κ[η]ρῦξαι καὶ p.30
ἐπιβολὴν ἐπιβάλλειν· οὐκ εἰώθασι δὲ ἐπιβάλλειν.

χειροτονοῦσι δὲ καὶ ταξ[ι]άρχους δέκα, ἕνα τῆς φυλῆς ἑκάστης· οὗτος 3
δ' ἡγεῖται τῶν φυλετῶν καὶ λοχαγοὺς καθίστησιν.

χειροτονοῦσι δὲ καὶ ἱππάρχους δύο ἐξ ἁπάντων· οὗτοι δ' ἡγοῦνται 4
τῶν ἱππέων, διελόμ[ενοι] τὰς φυλὰς ε̄ ἑκάτερος· κύριοι δὲ τῶν ·αὐτῶν
εἰσιν ὧνπερ οἱ στρατηγοὶ κατὰ τῶν ὁπλιτῶν. ἐπιχειροτονία δὲ γίγνεται
⟨καὶ⟩ τούτων.

χειροτονοῦσι δὲ καὶ φυλάρχους ⟨ι̅⟩, ἕνα τῆς φυλῆς, τὸν ἡγησόμενον 5
⟨τῶν ἱππέων⟩ ὥσπερ οἱ ταξίαρχοι τῶν ὁπλιτῶν.

χειροτονοῦσι δὲ καὶ εἰς Λῆμνον ἵππαρχον, ὃς ἐπιμελεῖται τῶν 6
ἱππέων τῶν ἐν Λήμνῳ.

χειροτονοῦσι δὲ καὶ ταμίαν τῆς Παράλου καὶ δίχα τῆς το[ῦ] 7
Ἄμμωνος.

---

1 τόν] τιν L, ut vid.; corr. K-W, H-L κ[η]ρυξαι L, corr. Bl (edd. cett.)
2 ἐπιβάλλειν prius] ἐπιβαλεῖν coni. Diels 7 εἰσιν ὧνπερ] ωνπερ (ειειν) L οπλειτ(ων) L. fragmenta duo nova huc attuli (p. 30 in L, vv. 21—26) γινεται L 8 καὶ add. H-L, K-W, al. 9 ι̅ add. Richards, al. 10 τῶν ἱππέων add. e Poll. VIII 94
13 δίχα] lectio non certa, sed cum vestigiis congrua; δ . . α Wu, νῦ[ν] Bl neque τῆς τοῦ omnino certa. της super lituram scriptum est

---

3 Lexicon Bekk. quintum (BA 306,12) ταξίαρχοι τίνες εἰσὶ καὶ πόσοι: ἄρχοντες ἡγούμενοι τῶν πολιτῶν κατὰ φυλήν, χειροτονητοί, ι̅ τὸν ἀριθμόν, οἷς ὑπετέτακτο τὸ πλῆθος κατὰ φυλήν.

5 Harpocr. s. v. ἵππαρχος: . . . λέγεται δὲ παρ' Ἀθηναίοις ἵππαρχος καὶ ὁ τῶν ἱππέων ἄρχων. δύο δ' ἦσαν οὗτοι, ὡς Δημοσθένης ἐν δ̄ Φιλιππικῶν φησι καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ (Epitomen descr. Phot.[II], Suid.[V]). Lex. Bekk. quint. (BA 266,26) ἵππαρχος: ὁ τοῦ ἱππικοῦ ἄρχων. ἦσαν δὲ ἵππαρχοι δύο ἡγούμενοι τῶν ἱππικῶν ταγμάτων. Lex. Patm. p. 16 ἵππαρχοι: οἱ τοῦ ἱππικοῦ ἄρχοντες. ἦσαν δὲ δύο, πέντε φυλῶν ἕκαστος ἐπιμελούμενος. Phot. ἵππαρχοι: δύο ἦσαν, οἳ τῶν ἱππέων ἡγοῦντο διελόμενοι τὰς φυλὰς ἑκάτερος ἀνὰ πέντε. ἐπιμεληταὶ δέ εἰσι τῶν ἱππέων καθάπερ οἱ ταξίαρχοι δέκα ὄντες εἷς ἐφ' ἑκάστης φυλῆς τῶν ὁπλιτῶν. Poll. VIII 94 ἵππαρχοι δὲ δύο ἐξ ἁπάντων Ἀθηναίων αἱρεθέντες ἐπιμελοῦνται τῶν πολέμων.

9 Harpocr. s. v. φύλαρχος: . . . φύλαρχός ἐστιν ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος δὲ τῷ ἱππάρχῳ, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησί (Epitomen exscr. Suid.[II] et [ex Photio] Etymolog. genuinum, unde Symeo et Et. M. 802,19). Poll. VIII 94 οἱ δὲ φύλαρχοι δέκα, εἷς ἀπὸ φυλῆς ἑκάστης, τῶν ἱππέων προΐστανται, καθάπερ οἱ ταξίαρχοι τῶν ὁπλιτῶν.

13 Harpocr. s. v. ταμίαι: . . . ἀρχή τις παρ' Ἀθηναίοις ἦν οἱ ταμίαι, δέκα τὸν ἀριθμόν. παραλαμβάνουσι δ' οὗτοι τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς Νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. εἰσὶ δέ τινες καὶ τῶν τριήρων ταμίαι, ὡς ὁ αὐτὸς φιλόσοφός φησιν (Epitomen descr. Phot.[III] [ex quo Et. gen., unde Symeo et Et. M. 745,18] et Suid.[II]). — Phot.[I] (descr. Et. gen., unde Symeo et Et. M.) = Suid. s. v. ταμίαι: . . . εἰσὶ δὲ καὶ ἄλλοι ταμίαι ἄρχοντες χειροτονητοὶ ἐπὶ τὰς ἱερὰς καὶ δημοσίας τριήρεις, ὁ μὲν ἐπὶ τὴν Πάραλον, ὁ δὲ ἐπὶ τὴν τοῦ Ἄμμωνος. cf. Poll. VIII 116 ταμίας ἐκάλουν τοὺς ταῖς ἱεραῖς τριήρεσι λειτουργοῦντας, ἄλλους ἢ τριηράρχους. — Lex. Cantabr. 675,28 Πάραλος καὶ Σαλαμινία: ταύτας τὰς τριήρεις εἶχον διὰ παντὸς πρὸς

LXII. αἱ δὲ κληρωταὶ ἀρχαὶ πρότερον μὲν ἦσαν αἱ μὲν μετ' ἐννέα 1
ἀρχόντων ἐκ τῆς φυλῆς ὅλης κληρούμεναι, αἱ δ' ἐν Θησείῳ κληρούμεναι p.30
διῃροῦντο εἰς τοὺς δήμους· ἐπειδὴ δ' ἐπώλουν οἱ δῆμοι, καὶ ταύτας ἐκ τῆς
φυλῆς ὅλης κληροῦσι πλὴν βουλευτῶν καὶ φρουρῶν· τούτους δ' εἰς τοὺς
δήμους ἀποδιδόασι.

μισθοφοροῦσι δὲ πρῶτον ὁ δῆμος ταῖς μὲν ἄλλαις ἐκκλησίαις δραχμήν, 2
τῇ δὲ κυρίᾳ ἐννέα ⟨ὀβολούς⟩. ἔπειτα τὰ δικαστήρια τρεῖς ὀβολούς. εἶθ'
ἡ βουλὴ πέντε ὀβολούς· τοῖς δὲ πρυτανεύουσιν εἰς σίτησιν ὀβολὸς προστί-
θεται [δέκα προστίθενται]. ἔπειτ' εἰς σίτησιν λαμβάνουσιν ἐννέ' ἄρχοντες
τέτταρας ὀβολοὺς ἕκαστος καὶ παρατρέφουσι κήρυκα καὶ αὐλητήν, ἔπειτ'
ἄρχων εἰς Σαλαμῖνα δραχμὴν τῆς ἡμέρας. ἀθλοθέται δ' ἐν πρυτανείῳ
δειπνοῦσι τὸν Ἑκ[ατ]ομβαιῶνα μῆνα, ὅταν ᾖ τὰ Παναθήναια, ἀρξάμενοι
ἀπὸ τῆς τετράδος ἱσταμένου. ἀμφικτύονες εἰς Δῆλον δραχμὴν τῆς ἡμέρας
ἑκάστης ἐκ Δήλου ⟨λαμβάνουσι⟩. λαμβάνουσι δὲ καὶ ὅσαι ἀποστέλλονται ἀρχαὶ
εἰς Σάμον ἢ Σκῦρον ἢ Λῆμνον ἢ Ἴμβρον εἰς σίτησιν ἀργύριον.

ἄρχειν δὲ τὰς μὲν κατὰ πόλεμον ἀρχὰς ἔξεστι πλεονάκις, τῶν δ' 2
ἄλλων οὐδεμίαν, πλὴν βουλεῦσαι δίς.

LXIII. τὰ δὲ δικαστήρια [κ]ληρ[οῦ]σ[ιν] οἱ θ ἄρχοντες κατὰ φυλάς, 1

---

6 πρῶτον ὁ δῆμος] fragmentum novum huc attuli (p. 30 in L, vv. 28—34). πρῶτον (sine μὲν) ... εἶθ' sicut Περὶ ζῴων μορ. 1, 640a14 9 δέκα προστίθενται ex signo 1, i. e. oboli, male intellecto natum esse docet Bl.; sed in papyris aegyptiacis signum oboli — est. est potius scholium interpretantis quod decem prytanibus decem numerabantur oboli 10 τετταρας] fragmentum alium ρας hic, et in versu proximo μην habet 12 διπνουσι L 14 λαμβάνουσι e seq. verbo supplendum esse videtur; contra Bl., K-W[3] (qui clausulam de athlothetis ut ab hoc loco alienam summovent) 18 τα δ(ε) τα L

τὰς ἐπειγούσας ὑπηρεσίας, ἐφ' αἷς καὶ ταμίαι τινὲς ἐχειροτονοῦντο ... τῆς μὲν Παράλου καὶ Σαλαμινίας ἐν τρίτῃ μνημονεύει Θουκυδίδης καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν. Ἀριστοτέλης δὲ Ἀμμωνιάδα (Ἀμοριάδα cod., corr. Meier) καὶ Πάραλον οἶδε.

18 Schol. Aristoph. Plut. 277 (RV): ἐν ταῖς Ἀθήναις πολλὰ ἦν δικαστήρια, καὶ ἐν τισὶ μὲν ἐδίκαζον περὶ φονικῶν πραγμάτων, ἐν τισὶ δὲ περὶ δημοτικῶν. ἕκαστον δὲ τούτων εἶχεν ἕν τι τῶν στοιχείων ἰδικὸν ὄνομα. οἷον ἦν τι τῶν δικαστηρίων λεγόμενον α, ὁμοίως ἄλλο β, ἄλλο δὲ γ, καὶ ἑξῆς τὸ δ καὶ τὸ ε ἕως τοῦ κ. δέκα γὰρ ἦν δικαστήρια τὰ πάντα ἐν Ἀθήναις. καὶ πρὸ θυρῶν δὲ ἑκάστου δικαστηρίου ἐγέγραπτο πυρρῷ βάμματι τὸ στοιχεῖον ᾧ τινι τὸ δικαστήριον ὠνομάζετο. ὅσοι δὲ δικασταὶ ἦσαν ἐν Ἀθήναις, ἕκαστος καθ' ἕκαστον δικαστήριον εἶχε δέλτον (sequentia om. R) τουτέστι πινάκιον, ἐν ᾧ ἐγγεγραμμένον ἦν τὸ ὄνομα αὐτοῦ καὶ τοῦ δικαστηρίου. εἶχε δὲ καὶ ῥάβδον ἅμα (leg. ὁμόχρουν) τῷ πινακίῳ, καὶ ἐν αὐτῇ τῇ ῥάβδῳ ἦν τὸ ὄνομα (leg. γράμμα) τοῦ δικαστηρίου ἐγγεγραμμένον. ὅτε οὖν συνέβαινε καιρὸς τοῦ δικάζειν, ἤρχοντο πάντες οἱ δικασταὶ εἰς τὴν ἀγορὰν κἀκεῖ κλήρους ἔβαλλον, καὶ ὅστις [ἂν] ἐκληροῦτο κλῆρον ἔχοντα τὸ α, ἀπήρχετο εἰς τὸ α δικαστήριον, ὁμοίως εἰς τὸ β καὶ τὰ ἐφεξῆς. [ἀπήρχετο δὲ] καὶ πρῶτον μὲν ἐδείκνυε τῷ κήρυκι τοῦ δικαστηρίου τὸν κλῆρον τοῦ στοιχείου, ὁ δὲ κῆρυξ λοιπὸν ἐδίδου αὐτῷ τὸ πινάκιον αὐτοῦ καὶ ῥάβδον, εἶτα οὕτως ἐδίκαζεν. εἰ δέ τις δικαστὴς εἰσῄει μὴ κληρωθεὶς εἰς τὸ δικαστήριον, κατηγορεῖτο καὶ ἐζημιοῦτο διαφόρως.

Schol. Arist. Vesp. 775 (V): ... ἄλλως. ἐπειδὴ θεσμοθέται καὶ δέκατος ὁ γραμματεὺς κληροῦσι τοὺς δικαστὰς τοὺς τῆς αὐτῆς φυλῆς ἕκαστος. Schol. Ar. Plut. 277 (Junt.) ... εἶτα οἱ θεσμοθέται κατὰ φυλὴν ἕκαστος καὶ δέκατος ὁ γραμματεὺς ἐκλήρουν τὰ γράμματα μέχρι τοῦ κ.

ὁ δὲ γραμματεὺς τῶν θεσμο[θετῶν τῆς] δεκάτης φυλῆς. εἴσοδοι δέ εἰσιν 2
ε[ἰς] τὰ δικαστ[ή]ρια δέκα, μία τῇ φυλῇ ἑκάστῃ, καὶ κληρ[ωτήρι]α εἴκοσι, p.30
δ[ύο τ]ῇ φυλῇ ἑκάστῃ, καὶ κιβώτια ἑκατόν, δέκα τῇ φυλῇ ἑκάστῃ, καὶ
ἕτερα κιβώτι[α, εἰς ἃ ἐ]μβάλλεται τῶν λαχόντων δικαστῶν τὰ πινάκια, καὶ
ὑδρίαι δύο. καὶ βακτηρίαι παρατίθενται κατὰ τὴν ε[ἴσοδον] ἑκάστην
ὅσοιπερ οἱ δικασταί, καὶ βάλανοι εἰς τὴν ὑδρίαν ἐμβάλλονται ἴσαι ταῖς
βακτηρίαις, ἐγ[γ]έγραπται δ' ἐν ταῖς βαλάνοις τῶν στοιχείων ἀπὸ τοῦ ἑνδε-
κάτου, τοῦ λ [τριακοστοῦ], ὅσαπερ ἂν μέλλῃ τὰ δικαστήρια πληρωθήσε-
σθαι. δικάζειν δ' ἔξεστιν τοῖς ὑπὲρ λ̄ ἔτη γεγονόσιν, ὅσοι αὐτῶν μὴ 3
ὀφείλουσιν τῷ δημοσίῳ ἢ ἄτιμοί εἰσιν. ἐὰν δέ τι[ς] δικάζῃ οἷς μὴ ἔξεστιν,
ἐνδείκνυται καὶ εἰς τὸ δικαστήριον εἰσάγετ[αι]· ἐὰν δ' ἁλῷ προστιμῶ[σι]ν
αὐτῷ οἱ δικασταὶ ὅ τι ἂν δοκῇ ἄξιος εἶναι παθεῖν ἢ ἀποτεῖσαι. ἐὰν δὲ
ἀργυρίου τιμηθῇ, δεῖ αὐτὸν δεδέσ[θαι], ἕως ἂν ἐκτείσῃ τό τε πρότερον
ὄφλημα ἐφ' ᾧ ἐνεδείχθη καὶ ὅ τι ἂν αὐτῷ προστιμήσῃ τ[ὸ δικ]αστήριον.
ἔχει δ' ἕκαστος δικαστὴς τὸ πινάκιον πύξινον, ἐπιγεγραμμένον τὸ ὄνομα τὸ 4
ἑαυτοῦ πατρόθεν καὶ τοῦ δήμου καὶ γράμμα ἓν τῶν στοιχείων μέχρι τοῦ
κ· νενέμηνται γὰρ κατὰ φυλὰς δέκα μέρη οἱ δικασταί, παραπλησίως ἴσοι
ἐν ἑκάστῳ τῷ γράμ[μα]τι. ἐπειδὰν δὲ ὁ θεσμοθέτης ἐπικληρώσῃ τὰ 5
γράμματα ἃ δεῖ προσπαρατίθεσθαι τοῖς δικαστηρίοις, ἐπέθηκε φέρων ὁ
ὑπηρέτης ἐφ' ἕκαστ[ον] τὸ δικ[α]στήριον τὸ γράμμα τὸ λαχόν. |

LXIV. τὰ δὲ [κιβώ]τια τὰ δέ[κ]α κ[εῖται ἐ]ν τ[ῷ ἔμ]προσθεν [τ]ῆς p. 31
εἰσόδου [κ]αθ' ἑκάστην τὴν φυλήν· ἐπιγέ[γρ]απται δ' ἐπ' αὐτῶν τὰ στο[ι]χεῖα 1
μέχρι [τοῦ] κ. ἐ[π]ειδὰν δ' ἐμβάλωσιν οἱ δικασταὶ τ[ὰ] πιν[ά]κια εἰς τὸ

4 εἰς ἃ suppl. Bl; δέκα οἷς (vel εἰς ἃ) ego antea, al., sed illud et sensui et spatio magis aptum est 5 βακτηρια L 6 ουσοιπερ L εισαι L*, corr. L[4] 7 ἐγγέγραπται] fragmenta duo huc attuli (p. 30 in L, vv. 42—52) litteras duo vel tres in singulis versibus continentia. εμγεγρ- L*, ut vid., ν suprascr. L[4] 7. 8 ενδεκατουτριακοστου L*, τριακοστου del. et του λ̄ ·τριακοστου· suprascr. L[4] (του λ̄ quidem recte, τριακόστου autem pravam interpretationem του λ̄) 8 ἂν] εαν L 9 ισοι L*, corr. L[4] 11 αλω L 12 αποτισαι L 13 εκτισῃ L 14 προστιμησῃ L 18 επικληρωσῃ L 20 υπερετης L*, corr. L[4] 21 τὰ δὲ] hic incipit volumen quartum, et opus resumit scriba tertius (L[3]). de suprascripto Δ, quod dispexit Wn, nullum vestigium video; neque omnino superest margo superior. in marg. sinistra est aliquid quod Δ esse potest, sed valde dubium est. fragmentum novum (v. praef.) quinque priorum versuum cum ceteris nunc composui κιβωτεια L κεῖται suppl. K-W 22 ισοδου L τὴν om. L*, suprascr. L[3] δ' επ αυτων L*, δε παντων L[4] σχοι- L*, corr. L? 23 δ' ἐμβάλωσιν] βλαβωσιν L*, corr. L[3]

15 Schol. Ar. Plut. 277 (Junt.): ἔρχεται ἕκαστος εἰς τὸ ⟨δικαστήριον⟩ πινάκιον ἔχων ἐπιγεγραμμένον τὸ ὄνομα αὐτοῦ [καὶ] πατρόθεν καὶ τοῦ δήμου καὶ γράμμα ἕν τι μέχρι τοῦ κ, διὰ τὸ πάλαι δέκα φυλὰς εἶναι Ἀθήνησιν, διῄρηντο γὰρ κατὰ φυλάς. εἶτα οἱ θεσμοθέται κατὰ φυλὴν ἕκαστος καὶ δέκατος ὁ γραμματεὺς ἐκλήρουν τὰ γράμματα μέχρι τοῦ κ. Et. gen. ex Photio (usque ad φυλῆς descr. Sym.) χαλκοῦν πινάκιον: ὃ εἶχον οἱ δικασταὶ πρὸς τὰς κληρώσεις ἔχον τὸ ὄνομα τοῦ δικαστοῦ πατρόθεν καὶ δήμου καὶ (καὶ om. Et. gen., hab. Symeo) τῆς φυλῆς. Ἀριστοτέλης (ἀρι^χ, id est Ἀρίσταρχος cod. Flor., corr. Wilamowitz) πύξινον. Hesych. χαλκοῦν πινάκιον: Ἀθηναῖοι εἶχον ἕκαστος πινάκιον πύξινον ἐπιγεγραμμένον τὸ ὄνομα [τοῦ] αὐτοῦ καὶ τοῦ δήμου πατρόθεν.

κιβώτι[ον] ἐφ' οὗ ἂν ᾖ ἐπι[γεγρα]μμένον τὸ γράμ[μα] τὸ αὐτὸ ὅπ[ε]ρ ἐπ[ὶ p.31
τῷ π]ινακίῳ ἐστὶν α[ὐτ]ῷ τῶν στοιχείω[ν, τότε] σείσαντος τοῦ ὑ[πη]ρέτου
ἕλκει ὁ [θεσμο]θέτης ἐξ ἑκάσ[τ]ου τοῦ κιβωτίο[υ πιν]άκιον ἕν. οὗτο[ς] 2
δὲ καλεῖται ἐμ[πήκτ]ης, καὶ ἐμπήγνυσι τὰ πινάκια [τὰ ἐκ το]ῦ κιβωτίου εἰς
τὴν κανονίδα [ἐφ' ἧς τὸ α]ὐτὸ γράμμα ἔπεστιν ὅπερ ἐπὶ τοῦ [κιβωτίο]υ.
[κληροῦται δ'] οὗτος, ἵνα μὴ ἀεὶ ὁ αὐτὸς ἐμπ[ηγνύων] κακουργῇ. εἰσὶ δὲ
κανονίδες [πέντε ἐ]ν ἑκάστῳ τῶν κληρωτηρίων. ὅ[ταν δὲ] ἐμβάλῃ τοὺς 3
κύβους, ὁ ἄρχων τὴν φυλὴν κληρ[οῖ κατὰ κ]ληρωτήριον. εἰσὶ δὲ κύβοι
χα[λκοῖ, μέ]λανες καὶ λευκοί· ὅσους δ' ἂν δέ[ῃ λαχεῖν] δικαστάς, τοσοῦτοι
ἐμβάλλον[ται λε]υκοί, κατὰ πέντε πινάκια εἷς, οἱ δὲ [μέλ]ανες τὸν αὐτὸν
τρόπον. ἐπειδὰν δ' ἐ[ξέλῃ] τοὺς κύβους, καλεῖ τοὺς εἰληχότας ὁ κ[ῆρυξ]·
ὑπάρχει δὲ καὶ ὁ ἐμπήκτης εἰς τὸν [ἀριθμό]ν. ὁ δὲ κληθεὶς καὶ ὑπα- 4
κ[ού]σας ἕλ[κ]ει [βάλανο]ν ἐκ τῆς ὑδρίας, καὶ ὀρέξας αὐτή[ν, ἄνω ἔχ]ων
τὸ γράμμα, δ[εί]κνυσιν πρῶ[τον μὲν] τῷ ἄρχοντι τῷ ἐφεστηκότι· ὁ δὲ
ἄρχω[ν ἐπειδ]ὰν ἴδῃ ἐμβάλλει τὸ πινάκιον α[ὐ]το[ῦ εἰς τὸ κ]ιβώτιον, ὅπου
ἂν ᾖ ἐπιγεγραμ[μέν]ον τὸ αὐτὸ στοιχεῖον ὅπερ ἐν τῇ βαλ[άνῳ, ἵ]ν' εἰς οἷον
ἂν λάχῃ εἰσίῃ καὶ μὴ εἰς [οἷο]ν ἂν βούληται, μηδὲ ᾖ συναγαγεῖν [εἰς]
δικαστήριον οὓς ἂν βούληταί τις. πα[ράκει]ται δὲ τῷ ἄρχοντι κιβώτια 5

---

1 ὅπερ] ο suprascr. L³; L* fortasse απερ (ita Wn, sed dubium est) 2 πινακιω L αὐτῷ Bl.; α[υτ]ω L, ut vid. 4 εν[πηκτ]ης et ενπηγνυσι L τὰ ἐκ τοῦ Haussoullier, al. 5 κανωνιδα L*, corr. L³ (item v. 7) ἐφ' ἧς Haussoullier, al. κιβωτίου Haussoullier, al. 6 κληροῦται δ' om. L*, suprascr. L³, ut vid.; nam ante lacunam sunt vestigia litterae, quae potest κ esse (ita Wn), potest etiam alia esse. δ' compendii ductum extremum, quem vidit Bl., non video. κληροῦται δ' coni. K-W ἐμπηγνύων K-W; ενπ- L κακουργη L 7 πέντε Bl. (nam sunt duo κληρωτήρια); δέκα cett. εκαστω L ὅταν δὲ spatio magis aptum (si δε scriptum fuerit, non δ') quam ἐπειδὰν δ'; ο, quod legit Wn, minime certum est ενβαλη L 7. 8 τοὺς κύβους om. L*, suprascr. L³ 8 κατὰ Bl; εἰς τὸ K-W; ο in papyro non exstat 9 λαχεῖν H-L, Haussoullier 10 ενβαλ- L 11 ἐξέλῃ Haussoullier κῆρυξ Bl² 12 ενπηκτης L ἀριθμόν Bl²; de prima littera fere nihil exstat 12. 13 ὑπακούσας] lectio minime certa, sed cum vestigiis plerumque congrua; υφακ- L*, ut vid., corr. L⁴. ὑπακούσας dubitanter Bl³ 13 ορεξας L, ut vid. ἄνω ἔχων] ἀνέχων Sandys, al., sed illud fortasse spatio magis aptum 14 τω L (bis) 15 ἐπειδὰν Papabasileus, al. ιδη L ενβαλλει L αὐτοῦ εἰς τὸ K-W κιβωδιον L*, corr. L⁴ οτι ante οπου L*, corr. L³ 16 ἂν] ην L*, ut vid., corr. L³ η L αυτου L τη L ἵν' Haussoullier 17 λαχηεισειη L οἷον K-W βαληται L*, corr. L³ ᾖ] εις L*, corr. L³ εἰς H-L, Bl, spatio magis aptum quam εἰς τὸ 18 παράκειται Haussoullier, K-W τω L κιβωτιον L*, corr. L³

---

4 Hesych. ἐμπήκτης: ὁ τὰ δικαστικὰ γραμματίδια (γράμματα διὰ cod., corr. Musurus) παρὰ τοῦ θεσμοθέτου (θεσμοφόρου cod.) λαμβάνων ὑπηρέτης καὶ πήσσων εἰς κανονίδα (κανευνίδα cod., corr. Iunius). Glossa Lexici Bekk. quinti (BA 258,21) ἐμπήκτης: ὁ θεσμοθέτης redit ad Aristotelis verba male intellecta. contra quae Lex. Sabb. s. v. ἐμπήκτης p. 19,6 ex Cassio Longino affert, ad Aristotelem vix pertinent.

7 et 10 Schol. Arist. Plut. 277 (RV Junt.): παρὰ τοῖς Ἀθηναίοις δέκα ἦσαν φυλαί. ἔθος οὖν ἀπὸ πασῶν τῶν φυλῶν δικαστὰς καθίζειν. εἶτα ἀπὸ μιᾶς ἑκάστης ἐλάμβανον ἄνδρας πέντε τοὺς ἐπισημοτέρους καὶ πάλιν ἐκ τῶν πέντε ἕνα τὸν κλήρῳ λαχόντα ἐποίουν δικάζειν. cf. Schol. Ar. Plut. 972.

ὅσαπερ [ἂν μ]έλλῃ τὰ δικαστήρια πληρωθήσεσθα[ι, ἔχο]ντα στοιχεῖον
ἕκαστον ὅπερ ἂν [ᾖ τὸ] τοῦ δικαστηρίου ἑκάσ[του] εἰληχός. p. 32
LXV. αὐτ[ὸς δὲ δείξα]ς πάλιν τ[ῷ ὑ]πηρέτῃ εἰσέ[ρχεται, ἐντὸς ἰώ]ν τῆς 1
κ[ι]γκλ[ί]δος. ὁ δὲ ὑπηρέτης [δίδωσιν αὐτ]ῷ βακτηρίαν [ὁ]μόχρων τῷ
δικαστ[ηρίῳ οὗ τὸ] αὐτὸ [γρ]άμμα ἐ[στὶν ὅ]περ ἐν τῇ βαλάνῳ, ἵν[α
ἀναγ]καῖον ᾖ αὐτῷ [ε]ἰσελθεῖν εἰς ὃ εἴληχε [δικασ]τήριον· ἐὰν γὰρ [ε]ἰς
ἕτερον εἰ[σέ]λ[θῃ], ἐξε[λέγχετα]ι ὑπὸ τοῦ χρώμα[τ]ος [τ]ῆς βακτηρίας.
τοῖ[ς γὰρ δι]καστηρίοις χρῶ[μ]α ἐπιγέγραπται [ἑκάστ]ῳ ἐπὶ τῷ σφη[κ]ίσκῳ 2
τῆς εἰσ[όδο]υ. ὁ δ[ὲ λαβὼ]ν τὴν βακτηρί[α]ν βαδίζει εἰ[ς τ]ὸ δικασ[τήριον]

1 οσαν L: deletum esse ν dicit Bl, sed non video μελλη L ντες L*, α suprascr. L³: ἔχοντα Haussoullier, al. post στοιχειον, ν scr. et del. L
2 ᾖ τὸ] ᾖ ἐπὶ Bl, ᾖ (spatio non satis) K-W, al. 3 αυτ] υ (et fortasse α), a L* male scriptum, rescr. L⁴ mox δε . . να . τ[ῳ] Wn. sed dubia haec 3. 4 κιγκλίδος (κ . γκλ- L) coni. Diels, idemque ἐντὸς ἰών; fort. εἶτ᾽ ἐ[ντὸς εἰσέρχετ]αι δίδωσιν αὐτῷ K-W ομοχρεν L*, corr. L⁴ τω L 5 ἐφ᾽ οὗ τὸ αὐτὸ Bl, spatio nimium, nisi superscriptum fuerit aliquid ὅπερ om. L*, ut vid., suprascr. L³ τη L
6 ἀναγκαῖον K-W; καιον cum vestigiis satis congruit ην L, corr. K-W
7 εἰσέλθῃ] εἰσ[ίῃ] Bl, K-W (spatio non satis, nisi εισειηι legitur), sed videtur λ esse ἐξελέγχεται K-W 8 sqq. suppl. e schol. Ar. (v. testim.) 8 δικαστηρας L*, ut vid., corr. L³ χρῶμα schol. Ar.; χρωματα L ἐφ᾽ ἑκάστῳ schol. Ar., sed non capit spatium τω L 9 ισοδου L τη βακτηρια L

4 Lex. Bekk. quintum (BA 220,17) βακτηρία: ὁμόχρωμοι τοῖς δικαστηρίοις ἐδίδοντο βακτηρίαι, ἵνα ὁ λαβὼν οἵου δὴ χρώματος βακτηρίαν εἰς τὸ ὁμόχρωμον εἰσέλθῃ (εἰσέλθοι cod.) δικαστήριον καὶ μὴ εἰς ἕτερον πλανᾶται διὰ τὸ πολλὰ εἶναι τὰ δικαστήρια. Lexicon Bekk. quartum (BA 185,4) βακτηρία καὶ σύμβολον: ῥάβδον κατεῖχον οἱ δικάζοντες καὶ σύμβολον ἐλάμβανον ἀντιδιδόντες διὰ τὸ κομίσασθαι τὸν (τὸν Marc., τὸ Coisl.) τριώβολον. Eadem glossa paullo plenior est apud Suid.¹. βακτηρία καὶ σύμβολον: οἱ λαχόντες δικάζειν ἐλάμβανον παρὰ τῶν δημοσίων ὑπηρετῶν σύμβολον καὶ βακτηρίαν καὶ οὕτως ἐδίκαζον. τὴν χρόαν δὲ ὁμοίαν εἶχε τῇ βακτηρίᾳ τὸ δικαστήριον. τὸ μέντοι σύμβολον μετὰ τὴν κρίσιν ἀποδιδόντες ἐκομίζοντο τριώβολον· ὅπερ καὶ δικαστικὸν γέγονεν (an ἔλεγον?) item in Lexico Patmensi p. 144 Sakk. βακτηρία: ῥάβδος ὁμόχρους τῷ δικαστηρίῳ ἣν ἐλάμβανε σύμβολον τῆς χειροτονίας ὁ δικάζειν λαχών. Schol. Arist. Vesp. 1110 (V) ἐδίδοντο δὲ καὶ βακτηρίαι τοῖς δικασταῖς ὁμόχροοι τοῖς δικαστηρίοις, ὅπου ἑκάστους εἰσελθόντας δικάζειν ἔδει, ἵνα τὸν διαμαρτάνοντα ἀπελέγξῃ τὸ χρῶμα.

